REpletionibus ſubortis faciet ſatis illaſque levabit fotus per ſicca & vomitus: per inferna vacuare vel detrahere nihil eſt neceſſe, præterquam dictorum ciborum quotidiana retrimenta : ac ne impendio vomendo crucietur, impera ut intra modum repleto ventriculo vomat, aſſumpto etiam eorum aliquo quæ nauſeoſa ſunt, & vomendi appetitionem movent, cujuſmodi ſunt pinguia & dulcia & prægrandes cucumeres; qui ſi non ſint ad manum, ſubſtituantur eorum ſemina melle intrita, & pulticula: potúſque dulcis ſuper his ingeſtus largiter. Nec ſolum adverſus ſaturitates & expletiones vomitionem commendo, ſed etiam mihi videtur (ſi quis fortè periclitari audeat) vomendo ſæpius, non modo renum ulcera, verùm etiam ejus loci vitia omnia brevi poſſe conſanari. Poſtmodum autem, cum uſqueadeo proceſſum erit, ut jam ex morbo revaluiſſe compareat, & motiones ſalutariter poſſe perpeti, primum ſpatiari poterit paulatim & modicè,

idque per planitiem: ſtatus verò fugiet, curſus, ſaltationes, ſubitasque declinationes, & inflexiones corporis: deinde quo firmior & valentior in dies evaſerit, eo plus deambulationibus exercitationibúſque aliis licebit apponere. Alia exercendi ſui genera ſunt, colluctationes manuum, frictionéſque levi attactu & manu ſuſpenſa. Ea quidem eſt in nephriticis vivendi præceptio: nunc ſi ſuppuratio foras eruperit, an etiam manus tractatione atque opera utendum ſit nec ne, luculenter apparet. Antiquitus ſuppurata inurebant, aut decacuminabant, *hoc eſt ſcalpello deputato faſtigium reſecabant, ut pus proflueret.* * * * * *

Ejuſdem AUCTORIS FRAGMENTUM

De Medicamentis purgantibus.

* Et ſoboli procreandæ conferre videtur. Filicula pituitam, bilem aquáſque detrahit. Danda excepta mulſo aut aqua, raſa radix, ad drachmas duas. Non minus eſt ſalubre bullitam ad ſalgama, ſive cum ſalſamento, ante prandium comedere. Purgat item non moleſtè cum ptiſana & cum jure avis domeſticæ decocta: bella fuerit purgatio, ut quæ adoleſcentibus etiam ſatisfaciat; in morbis verò nihil tanta purgatione opus eſt.

Iris quidem pituitam, mucoſa excrementa, atque etiam millioſa deducit: quin & ſanguinem, & melan-

περιπατεῖν· στάσεις δὲ καὶ δρόμους καὶ πηδήσεις, καὶ ἐξαπιναίους ἐπικύψεις φυλάσσεσθαι· ἔπειτα δὲ καθ' ὅσον ἐπιδίδωσι ῥώμη τε καὶ εὐταξία, κατὰ τοσοῦτο τοῖς τε περιπάτοις καὶ τοῖς ἄλλοις πόνοις προστιθέναι. τὰ εἴδη τῶν ἄλλων πόνων ἐστὶν ἀνάπαλαί τε χειρῶν καὶ τρίψεις κατὰ πολλὴν ἡσυχίαν. δίαιτα μὲν ἥδε τῶν νεφριτικῶν· εἰ δὲ πρὸς τὰ ἔξω τράποιτο τὸ ἐμπύημα, εἰ δεῖται μᾶλλον ἐνταῦθα καὶ τῇ χειρὶ καταφανέστερον. * * * * * τοὺς διέκαιον οἱ παλαιοί, ἢ ἀπεκορύφουν * * * * *

ΤΟΥ ΑΥΤΟΥ ΡΟΥΦΟΥ ΒΙΒΛΙΟΝ ΑΛΛΟ ΑΝΑΡΧΟΝ ΚΑΙ ΑΤΕΛΕΣ ΠΕΡΙ ΦΑΡΜΑΚΩΝ ΚΑΘΑΡΤΙΚΩΝ.

* ΚΑΙ παιδοποιία δοκεῖ συμφέρειν.

Πολυπόδιον ἄγει μὲν φλέγμα καὶ χολὴν καὶ ὑδατώδη· διδόναι δὲ τῆς ῥίζης ὅσον δραχμὰς δύο, ἐπιξύων μελικράτῳ, ἢ ὕδατι· κάκιον καὶ οὐδὲν καὶ ἐπὶ τάριχος ξύσαντα, φαγεῖν πρὸ τοῦ ἀρίστου· καθαίρει δὲ καὶ ἐν πτισάνῃ καὶ ἐν ζωμῷ ὄρνιθος ἡ ῥίζα ἑψηθεῖσα, οὐ λυπηρῶς· καὶ εἴη ἂν ὡραία μὲν κάθαρσις, καὶ μάλιστα μειρακίοις αὐτάρκης· πρὸς δὲ τὰς νόσους οὐδὲν μέγα οὕτω καθαίρειν.

Ἡ δὲ ἶρις ἄγει μὲν φλέγμα καὶ ὑπόμυξα, καὶ χολῶδες, εἰ δὲ πλεῖον τοῦ μετρίου διδοίης, καὶ αἱματῶδες καὶ μέλανα·

ὥστε μέτριον ἀρκεῖ μία ἥμισυ κύαθος καθῆραι. πάνυ δέ ἐστι στομάχῳ δυσχερές· τῆς δὲ ῥίζης διδόναι δραχμὰς * * * * μετὰ μελικράτου, τοῖς τε σπληνικοῖς, καὶ τοῖς ἀμφημερινῷ καὶ τεταρταίῳ πυρέσσουσι, καὶ τοῖς δυσπνόοις, καὶ τοῖς βηχώδεσι, καὶ τοῖς κωλικοῖς.

Σικυωνία δὲ καθαίρει φλέγμα καὶ χολὴν ἄκρατον· διδόναι δὲ δραχμὴν μίαν τῆς ἐντεριώνης ἐν μελικράτῳ. πρᾳότερον δὲ καθῆραι βουλόμενος, τὸ μὲν σπέρμα τῆς σικυωνίας ἐκβάλλειν ἐγχέας δὲ οἴνου γλυκέος εἰς τὸν φλοιὸν, ἑψεῖν ἐπὶ μαλακωτέρας, ἕως ἂν καλῶς θερμανθῇ, τοῦτο διδόναι πίνειν, οἷς τε ἄγειν οὐκ ἰσχυρῶς δεῖ, καὶ οἷς κατὰ δέρμα ἐξανθήσεις πελιαὶ γίνονται. τὸ δὲ σύμπαν, σικυωνία συμφέρει ἄσθμασι, πλευρῶν πόνοις, χρονίαις κεφαλαλγίαις, ἰλίγγοις, ἀμβλυωπίαις· ἔστι δὲ πικρότατον μὲν, ἀλλ᾽ εἰς ὕστερον εὐστομωτέρους παρασκευάζει.

Φακοειδὲς δὲ ἄγει μὲν ὑδατῶδες, καὶ φλεγματῶδες, καὶ χολῶδες· ἀρκεῖ δὲ πλῆθος δραχμῶν δύο, μελικράτῳ ἐπιπάσσοντα πίνειν.

Πέπλος καὶ πέπλιον ἐγγυτάτω μὲν τὴν ἰδέαν ἀλλήλων, ἐς τὸ καθάραι· τὸ δὲ φλεγματῶδες, καὶ χολῶδες, μετὰ φυσῶν κατὰ πλῆθος, καὶ ξηρανθέντα καθαίρει πρᾴως.

Η δ᾽ ἀλόη, ὀξὺ μὲν καθῆραι, οὐκ ἔστι στομάχῳ δὲ εὐμενέστατον ἴσα καὶ ἀψίνθιον. ἀρκεῖ δὲ ὅσον δραχμὰς δύο, μετὰ μελικράτου πιεῖν· ἄγει δὲ φλέγμα καὶ χολήν. ἀγαθὸν δὲ καὶ τὴν ἐφ᾽ ἡμέραν λαμβάνειν ἀπὸ δείπνου. διαχωρεῖ

χωρεῖ

lancholiam trahit, ſi præter modum dederis. Quare ſola ut mediocriter purget, cyathi dimidium ſufficiet: admodum enim ſtomacho eſt ingrata. Radicis verò dandæ drachmæ ſeptem in mulſo, lienoſis, quotidiana & quartana febre laborantibus, anhelatoribus, tuſſientibus & colicis.

Colocynthis pituitam purgat, & bilem meram. Ejus pulpæ danda eſt drachma una in mulſo: ſi quis tamen mitius purgare volet, ſemen ejiciendum eſt, & affuſo vino dulci intra corticem, lento igne coquendum, quouſque rectè incaluerit; tum his propinandum offeratur, quos non potenter exinanire conveniat, & quorum cutem lividæ papulæ deformârint. In totum verò colocynthis prodeſt ſuſpirioſis, laterum doloribus, inveteratis capitis cruciatibus, ſingultibus, & adverſus obtuſam aciem oculorum. Etſi enim oppido quàm amara eſt medicina, tamen in poſterum efficit, ut illis ſit uſus cibi gratior.

Calcifraga aquoſa, pituitoſa, bilioſaque vacuat: drachmis duabus in mulſo pota ſufficit.

Peplos & peplis gentilitate & figuræ cognatione proximæ, in purgando pituitam, & bilem extrahunt cum flatibus pro copia : ſiccatæ etiam benignè purgant.

Aloe celeriter purgat, nec verò ut abſinthium gratiſſima eſt ſtomacho: ejus duæ drachmæ cum mulſo potæ ſufficiunt: pituitam & bilem attrahit. Bonum conſimiliter quotidiè eam aſſumere à prandio; humores ſiquidem permeat & ſubducit, nec cibi digeſ-

digeſtionem abolet, præterea non ſiticuloſum reddit, ſed famelicum; terere autem oportet cum braſſicæ aut lapathi ſucco, & formare catapotia partim ciceris partim fabæ magnitudine: & cum exinanire collibuerit, duo aut tria ingerere. Convenient etiam ejus globuli cum reſina apparati, aut cum melle cocto, eorum cauſa maximè quibus intolerabilis eſt amaritudo. Quin etiam ſcammonio utiliter admiſcetur, aut eorum alteri, quæ ſtomachi diſſolutionem faciunt, præterquam quod febres quotidianas ſanat, arquatis, & jecinoris vitiis ſubvenit, cibi faſtidia & cruditates emendat in hominibus, & perinde in mulieribus; fuiſſétque optimum medicamentum pueris, niſi amarum eſſet ſupra modum: puerilis enim ætas à rebus uſque adeò amaris vehementer abhorret.

Hippophaes & hippophæſtum pituitam, bilem, aquaſque purgant largiter: hippophæſtum aquæ vitia. Præcipuè comitialibus datur, ſyderatis altera manu, aut crure, oblivioſo, difficulter ſpiranti, & his qui rectà ſpirare coguntur: adhæc his omnibus, quos perpetuus variúſque tremor exagitat. Si valentius purgare volueris, dabis ſucci per ſe obolos tres: ſin autem ex eo quod cum farina ervi conficitur, drachmam unam ex mulſo; ſed ad omnia efficaciùs hippophæſtum: ideò dandum minore copia.

Clematis pituitam & bilem purgat: ejus fructus ad drachmam unam exhibendus eſt cum mulſo.

Pycnocomum bilioſa detrahit: ejus radicem comedendam dato, ipſa enim per ſe purgat; rotunda eſt, exiguo malo admodum ſimilis.

χωρεῖ γὰρ, καὶ τὰ σῖτα οὐκ ἀφανίζει· πρὸς δὲ καὶ ἄδιψόν ἐστι ϗ ἄσιτον, τρίψαντα ἐν χυλῷ κράμβης, ἢ λαπάθῳ πλάσαι, τὰ μὲν ἡλίκα ἐρεβίνθῳ, τὰ δὲ κυάμοις ἴσα· ϗ τούτων λαμβάνειν, ϗ δύο, ϗ τρία, ὅπως ϗ χρῄζῃς κενοῦσθαι. ἐπιτήδειον ϗ μετὰ ῥητίνης καταπότιον σκευασθὲν, ϗ μετὰ ἑφθοῦ μέλιτος· ϗ μάλιστα οἷς ἡ πικρία δύσφορος. καλῶς δ' ἂν που ϗ σκαμμωνίᾳ μίσγοιτο, καὶ ἄλλῳ τινὶ τῶν καρδιοβόλων. νοσήμασι δὲ συμφέρει, πυρετοῖς τε ἀμφημερινοῖς, ϗ ἰκτέρῳ, ϗ ἥπατος πόνῳ, ϗ ἀποσιτίαις, ϗ ἀπεψίαις, καί οὐχ ἧσσον γυναιξὶν, ἢ ἀνδράσιν· εἰ δὲ μὴ ἡ πικρία ὑπερέβαλε, ϗ παιδίοις ἦν κάλλιστον· ἀλλὰ τῶν ἐπὶ τοσοῦτον πικρῶν οὐκ ἐθέλουσι παῖδες γεύεσθαι.

Ἱπποφαὲς δὲ ϗ ἱππόφαιστον, καθαίρει φλέγμα, καὶ χολὴν, ϗ ὕδωρ πλέον. τὸ ἱππόφαιστον τὰ ὑδατώδη. διδόναι δὲ τῷ τε ἐπιληπτικῷ ϗ τῷ παραπληγὶ χεῖρα, ἢ σκέλος, ϗ τῷ ἐπιλανθανομένῳ, ϗ τῷ δυσπνόῳ, ϗ τῷ ὀρθοπνοϊκῷ· ϗ ὅσοις παλμοὶ ἄλλοτε ἄλλοι τοῦ σώματος συνεχεῖς γίνονται. μᾶλλον δὲ καθῆραι βουλόμενος, τοῦ ὀποῦ, εἰ μὲν καθ' αὐτὸν ὀβολοὺς γ· εἰ δὲ τοῦ σὺν τῷ ὀρόβῳ σκευαζομένου, δραχμὴν μίαν ἐν μελικράτῳ. εἰς πάντα ϗ ἰσχυρότερον τὸ ἱππόφαιστον. διὸ ϗ μεῖον δοτέον.

Κληματὶς δὲ καθαίρει φλέγμα ϗ χολήν· προσφέρειν δὲ τοῦ καρποῦ ὅσον δραχμὴν μίαν ἐν μελικράτῳ.

Πυκνόκομον δὲ ἄγει χολώδες, διδοὺς ϗ τὴν ῥίζαν φαγεῖν· αὐτὴ γὰρ μόνη καθαίρει, ϗ ἐστὶ στρογγύλη, μικρῷ μήλῳ μάλιστα ὁμοία.

Ἀμπελοι δὲ καθαίρουσι καὶ χολῶδες καὶ ὑδατῶδες, πλήθη καὶ ἐξαρκεῖ δραχμῶν δύο· κάλλιστα καὶ ἂν χρῷτο τῇ ἡμέρῳ χειρωνίῳ πρὸς τοὺς ἐπιλήπτους καὶ μαινομένους, τῇ δὲ ἀγρίᾳ πρὸς τοὺς ὑδεριῶντας.

Θύμον καὶ ἐπίθυμον, καὶ ἀμάρακον, καὶ κονίλη μελάνων εἰσὶ καὶ φλεγματωδῶν καθαρτήριον· ἀλλὰ πολὺ πρὸς ἅπαντα τὸ ἐπίθυμον προέχει· διδόναι δὲ κόψας καὶ διασήσας μετ᾽ οἴνου γλυκέος· πλῆθος δραχμῶν ἓξ καὶ ἐπιπλεῖον. ἄγει γὰρ χρηστῶς· καὶ εἰ ἐπιδειπνεῖν ἐθέλοις, οὐδὲν ἐμποδῶν μὴ καθαρθῆναι μετρίως· τὰς δὲ ἑωθινὰς καθάρσεις, μετ᾽ ὀξυμέλιτος ποιῆσαι, τῶν ἄλλων προσμίσγων. συμφέρει δὲ ἐπίθυμον τοῖς φυσώδεσι καὶ ὑποχονδριακοῖς, καὶ ἀπέπτοις, καὶ ὅσοις ἧπαρ ἢ σπλὴν βαρύνεται, καὶ τοῖς δυσπνόοις. θύμος δὲ ἄγει μὲν καὶ μέλανα, πλείονα δὲ τὰ φλεγματώδη. πλῆθος τῆς κόμης, ὅσον ὀξύβαφον μετὰ μέλιτος. διδόναι δὲ τοῖς τε ἀσθματικοῖς, καὶ τοῖς χρονίως βήττουσι, καὶ τοῖς πάχη ἐν κοιλίᾳ ἔχουσι.

Ο ἀμάρακος ξηρὸς ἐπιπαστόμενος ὀξυμέλιτι ὅσον δραχμαὶ δ΄· μεθ᾽ ἄλλων, τὰ ὅμοια ὀνίνησι. καὶ ἡ ὀρίγανος δὲ ὡσαύτως· διδόναι δὲ ὀξύβαφον ξηρῶν ἐν μελικράτῳ.

Αἱ δὲ μήκωνες ὑπάγουσι μὲν ἡσυχῇ, πλῆθος δ᾽ ἀρκεῖ τοῦ σπέρματος ἑκατέρου ὅσον ὀξύβαφον ἐν μελικράτῳ.

Σικύου δὲ ἡ ῥίζα, ἁρμόζει μὲν πινομένη τοῖς ὑδερώδεσι· καθαίρει δὲ φλέγμα καὶ χολήν. ἀλλὰ τοῦ μὲν χυλοῦ τῆς ῥίζης, ἐξαρκεῖ καὶ ὅσον ὀβολοὺς διδόναι τρεῖς· τοῦ δὲ φλοιοῦ, καὶ τριπλάσιον· τοῦ δὲ ἐλατηρίου, σον μικρὸν ὕστερον.

Σκορπίουρον μὲν καθαίρει φλέγμα καὶ χολήν, ἀρκεῖ δὲ

2 ἴσον

Vites purgant tum bilem, tum pituitam. Dantur drachmis duabus: ſativæ uſus eſt inſignis contra morbum caducum, & inſaniam: ſylveſtris verò ad aquam intercutem.

Thymus, epithymum, amaracus, & cunila, bilem atram pituitámque purgant: ſed ad omnia plus poteſt epithymum: tritum & cretum dandum eſt in vino dulci, ſemunciæ cum ſiciliquo menſura, aut etiam majore. Egregiè enim humores trahit, ac ſi à medicamento ſtatim prandere velis, nihil juſtam purgationem impediet: manè verò purgare oportet cum oxymelite ſale adjecto. Confert etiam epithymum inflationibus, & interaneis morbis, crudis, & his quibus hepar, aut lien prægravatur, atque etiam difficiliter ſpirantibus. Thymus detrahit melancholiam, & pituitam affluenter. Comæ ejus acetabuli menſura cum melle danda ſuſpirioſis, tuſſi inveteratæ, & his qui humores craſſos in ventriculo continent.

Amaracus ſiccus drachmis quatuor melle exceptus, admixto ſale, eandem vim habent: ſimiliter & origanum. Danda ſunt ſicca acetabuli menſura cum mulſo.

Papavera leniter ſubducunt: ſeminis utriuſque ſufficit acetabulum in mulſo.

Cucumeris radix epota facit ad aquam intercutem: purgat pituitam & bilem: verùm ſucci ex radice ſatis eſt trium obolûm pondus, corticis triplum: elatyrii quantum pauló poſt.

Heliotropium minus, quod tricoccum dicitur,

pituitam purgat, purgat & bilem, ſatis facit manualis faſciculus decoctus moderatè ex aquâ, & potus affuſo vino.

Seſamoides minus pituitam quoque & bilem ducit: ſeminis menſura acetabuli dimidium.

Tithymalus helioſcopios (eſt autem omnium eſularum imbecillimus) detrahit etiam ipſe bilioſa & pituitoſa retrimenta, ſive ſuccum, ſive ſemen, ſive folia dederis: eſt tamen ſuccus efficacior, ſecundo loco ſemen, extremo folia. Succi verò drachmæ pondus ſatis eſt, ex aliis detur quantum vires ferunt. Purgat itidem cypariſſias; ſed cum majore efficacia, idcircò minus dandum. Inter eſulas, quæ eſula propriè dicitur, potentiſſima: nam ſeminis, ſi ſolum expreſſum ſuccum intra carycam dederis, purgabit inſigniter: folia perinde, perarida, & mulſo ſoluta, quanta eſt ſemiſſe minus menſura acetabuli.

Chamelæa pituitam, bilémque vacuat, folia terere oportet, & melle cocto excepta exhibere: acriter enim mordet: nonnulli abſinthium admiſcentes, in catapotia digerunt: pondus idoneum drachmæ duæ. Braſſica marina, ut cætera olera cocta & condita eſtur: ſtomachúmque peſſimè ſubvertit, & celeriter perturbat.

Lathyreos comeſta grana decem faciunt ſatis: guſtatu dulcia ſunt, & pituitam, & bilem affatim detrahunt: ſufficiunt etiam ſucci ex mulſo liquati, terni oboli: folia etiam licet ad eundem uſum juſculo gallinaceo incoquere,

ὅσον δεσμὴν σύμμετρον ἑψήσαντα τοῦ ὕδατος πιεῖν κεράσαντα οἴνῳ.

Τὸ δὲ λευκὸν σησαμοειδὲς, ἄγει μὲν καὶ αὐτὸ φλέγμα καὶ χολήν· μέτρον δὲ τοῦ σπέρματος, ὅσον ἥμισυ ὀξυβάφου.

Ο δὲ ἡλιοσκόπος τιθύμαλλος. ἔστι δὲ πάντων τιθυμάλλων ἀσθενέστατος· ἄγει καὶ αὐτὸς καὶ χολῶδες καὶ φλεγματῶδες, ἤν τε τοῦ ὀποῦ δίδῳς, ἤν τε τοῦ σπέρματος, ἤν τε τῶν φύλλων· ἰσχυρότερον δὲ ὁ ὀπὸς, δεύτερον τὸ σπέρμα, τρίτον τὰ φύλλα. ἱκανὸν οὖν τοῦ μὲν ὀποῦ δοῦναι δραχμὴν· τῶν δ' ἄλλων κατὰ λόγον τῆς ἰσχύος· καθαίρει δὲ ὁ κυπαρισσίας ὅμοια, γυναιότερον δὲ, ὥστε ἐξαρκεῖ καὶ ἔλασσον διδόναι, ὅδε τιθύμαλλος κάλλιστον ἐν τοῖς τιθυμάλλοις, ὥστε εἰ καὶ ἀποστάζων τοῦ ὀποῦ ἰσχάδος διδοίης οἱ, καθαίρει καλῶς· καὶ τὰ φύλλα ξηρὰ λίαν ἐπιπασθέντα μελικράτῳ, ὅσον ἥμισυ ὀξυβάφου.

Η δὲ χαμελαία, καθαίρει μὲν φλέγμα καὶ χολήν· δεῖ δὲ τῶν φύλλων λαβόντα τρίψαι, καὶ περιπλάσαντα ἑφθῷ μέλιτι δοῦναι. δάκνει γὰρ ἰσχυρῶς. ἔνιοι δὲ καὶ ἀψίνθιον μίσγοντες, καταπότιον σκευάζουσι· πλῆθος δὲ ἀρκεῖ δραχμῶν δύο. τὴν δὲ θαλασσίαν κράμβην ἑφθὴν, ὥς τι καὶ ἄλλο τῶν λαχάνων ἀρτύσαντα ἐσθίειν. ἔστι δὲ στομάχῳ κακίστη καὶ ταράσσει ταχύ.

Τῆς δὲ λαθύριδος ἀρκεῖ μὲν καὶ ὅσον κόκκους δέκα φαγεῖν· εἰσὶ δὲ γευομένῳ γλυκεῖς, καὶ ἄγουσι χολῶδες, καὶ φλεγματῶδες συχνά· ἀρκεῖ δὲ καὶ τοῦ ὀποῦ λαβόντας διατῆξαι μελικράτῳ, ὅσον ὀβολοὺς γ, καὶ τῶν φύλλων

ζωμοῦ

ζωμῷ ὄρνιθος ἑψῆσαι. κενοῦσι γὰρ τὰ αὐτὰ, ἧσσον δὲ τὰ φύλλα.

Ἀγαρικὸν δὲ καθαίρει φλέγμα καὶ χολήν· ἀλλ᾽ οὐκ ὀξέως· ἔστι δὲ συμφορώτατον ἐπὶ ἥπατος, καὶ σπλὴνὶ καὶ πνεύμονι, καὶ δυσπνόῳ, καὶ ὀξυρεγμίαις, καὶ ἀρθρίτισι, καὶ κεφαλῆς βάρει, καὶ ἰλίγγοις, καὶ ἐπιληψίαις, καὶ γυναικὶ ὑστερικῇ, τούτοις πᾶσι συμφορώτατόν ἐστι· διδόναι τὸ πλῆθος δραχμῶν δύο, ἐπιπάσσοντας μελικράτῳ ὀξεῖ.

Εὐφόρβιον δὲ, καθαίρει μὲν ὑδατῶδες καὶ χολῶδες, πολλὸν ἔστ᾽. * *

alvum ſiquidem ſubducunt; ſed non cum tanto ſucceſſu.

Agaricum pituitam bilémque deducit, ſed ſegniter: utiliſſimum eſt hepati, lieni, pulmonibus, anhelatoribus, acidum ructantibus, & his qui articulorum morbo, & capitis gravedine vexantur: convenit etiam ſingultibus, morbo caduco, & mulierum doloribus: pondus eſt ſiciliquum ex mulſo aut poſca.

Euphorbium aquoſos humores, bilioſóſque detrahit. * R. C. F

ΡΟΥΦΟΥ ΕΦΕΣΙΟΥ

ΠΕΡΙ

ΟΝΟΜΑΣΙΑΣ

ΤΩΝ τȢ ΑΝΘΡΩΠΟΥ ΜΟΡΙΩΝ.

RUFFI EPHESII

DE

Corporis humani Partium

APPELLATIONIBUS

LIBER I.

ΡΟΥΦΟΥ ΕΦΕΣΙΟΥ

ΠΕΡΙ

ΟΝΟΜΑΣΙΑΣ

ΤΩΝ τοῦ ΑΝΘΡΩΠΟΥ ΜΟΡΙΩΝ.

ΤΙ πρῶτον ἔμαθες ἐν κιθαριστικῇ; κρούειν ἑκάστην τῶν χορδῶν καὶ ὀνομάζειν. τί δὲ πρῶτον ἔμαθες ἐν γραμματικῇ; γνωρίζειν ἕκαστον τῶν γραμμάτων, καὶ ὀνομάζειν. οὐκοῦν καὶ τὰς ἄλλας τέχνας ὡσαύτως ἀπὸ τῶν ὀνομάτων ἄρχονται διδάσκειν· καὶ ὁ χαλκεὺς, καὶ ὁ σκυτοτόμος, καὶ ὁ τέκτων, πρῶτον καὶ σιδήρου ὄνομα, καὶ σκεύους, καὶ ὁτινοσοῦν ἄλλου τῶν πραγμάτων πρὸς τὴν τέχνην· καὶ ὅσαι σεμνότεραι, οὐχὶ καὶ ταύτας ἀπὸ τῶν ὀνομάτων ὡσαύτως ἄρχονται διδάσκειν; τί γὰρ πρῶτον ἔμαθες ἐν γεω-

 μετρίᾳ;

RUFFI EPHESII
DE
Corporis Humani Partium
APPELLATIONIBUS
LIBER I.

QUid in arte citharæ pulſatoria primum didiciſti? Singulas fides pulſare, credo, atque nominare. Quid in grammatica primum percepiſti? Unumquodque elementum cognoſcere ac nominare. Igitur & alias artes à nominibus docere incipiunt: & ferrarius faber, & alutarius cerdo, & carpentarius inprimis ferri nomen, & inſtrumenti, & aliorum omnium ad artem facientium nomina tradunt. Quin etiam graviores artes nonne & ipſe à nominibus pari ratione docendi exordium capiunt? Quid enim primum in geo-

metriâ accepiſti? Punctum ſanè, & lineam, & planum, & ſuperficiem, & figuram triangulam, & circulum, aliáque id genus, quidnam ſunt dignoſcere, rectéque appellare. Viſne igitur & medicinalem facultatem à nominibus exorſus perdiſcere? ac primum omnium, ut ſingulas corporis partes appellare conveniat, deinde & reliqua quemadmodum ſermonis proceſſus, connexióque requiret agnoſcere? Aut tibi ſatis eſſe videtur, me ceu mutum quæcunque doceri poſtulas, tibi oſtendentem explicare? Mihi verò id non melius eſſe, téque ipſum hoc pacto diſcere, & alterum docere, haud facile eſſe videtur. Atque de his quidem ſic mea fert opinio. Cæterum audiens, & in puerum hunc reſpiciens, memoriæ, quæ ſenſui patent, commendato. Ante omnia ut interiora appellanda ſint, animal quodpiam homini quàm ſimillimum diſſecantes, inſtruere te conabimur. Nihil enim impediet, tametſi non omnia omnibus ſimilia ſint, quominus ſummam ſaltem cujuſque doceamus. Verùm priſcis temporibus in humanis corporibus hujuſmodi generoſius oſtendebant.

Maximæ corporis partes hæ ſunt: caput, collum, thorax, manus, & crura. Thoracem autem non ſolum eam partem, quæ à jugulis ad præcordia uſque pertinet, appellamus: verùm etiam totum illud, quod intra jugula pudendáque concluditur.

Caput vocatur, quod pilis contegitur, ſeparatim, & ſimul cum facie: capillati autem prior pars ſynciput, averſa verò occiput nominatur: partes à late-

μετρίας; στιγμὴν, καὶ γραμμὴν, καὶ ἐπίπεδον, καὶ ἐπιφάνειαν, καὶ σχῆμα τρίγωνον, καὶ κύκλον, καὶ τὰ ὅμοια, εἰδέναι τὲ ὅ, τι ἕκαστον αὐτῶν, καὶ ὀνομάζειν ὀρθῶς. βούλει οὖν καὶ τὰ ἰατρικὰ καὶ ἀπὸ τῶν ὀνομάτων ἀρξάμενος μανθάνειν; καὶ πρῶτον μὲν ὅ, τι χρὴ καλεῖν ἕκαστον τοῦ σώματος μόριον, ἔπειτα τὰ ἄλλα ὡς ἂν ἕπηται τῷ λόγῳ; ἢ δοκεῖ σοι ἱκανὸν εἶναι δεικνύντα δηλοῦν ὥσπερ κωφὸν ὅ, τι χρήζεις διδάξαι; ἐμοὶ μὲν οὐ δοκεῖ ἐκεῖνο ἄμεινον. οὐκ εὐμαθὲς δὲ καὶ ῥᾷστον οὕτως καὶ μανθάνειν αὐτὸν, καὶ ἕτερον διδάσκειν. καὶ τοῦτο μοι δοκεῖ οὕτως. Ἀκούων δὴ καὶ ἀποβλέπων εἰς τὸν παῖδα τοῦτον διαμνημονεύσεις τὰ ἐπιφανῆ· πρῶτον ὡς χρὴ καλεῖν τὰ ἔνδον, ζῷόν τι, ὃ μάλιστα ἀνθρώπῳ ἔοικε, διελόντες, διδάσκειν σὲ πειρασόμεθα. οὐδὲν γὰρ ἐμποδὼν, εἰ μὴ καὶ πάντα πᾶσιν ἔοικε, τὸ γοῦν κεφάλαιον ἑκάστου διδάξαι. πάλαι δὲ γενναιότερον ἐπὶ ἀνθρώπων ἐδίδασκον τὰ τοιαῦτα.

Ἔστι δὲ τὰ μέγιστα μέρη τοῦ σώματος, κεφαλὴ, καὶ αὐχὴν, καὶ θώραξ, καὶ χεῖρες, καὶ σκέλη. θώρακα γὰρ οὐ μόνον τὰ ἀπὸ τῶν κλειδῶν μέχρι τῶν ὑποχονδρίων καλοῦμεν, ἀλλὰ καὶ τὸ σύμπαν ἀπὸ κλειδῶν μέχρι τῶν αἰδοίων.

Κεφαλὴ δὲ καὶ τὸ τετριχωμένον καλεῖται καθ' ἑαυτὸ, καὶ σὺν τῷ προσώπῳ. τοῦ δὲ τετριχωμένου τὸ μὲν ἔμπροσθεν, βρέγμα· τὸ δὲ ὄπισθεν, ἰνίον· τὰ δὲ ἑκατέρωθεν τοῦ βρέγματος,

ματος, κόρσαι καὶ κρόταφοι· τὸ δὲ ἐν μέσῳ καθ' ὃ δὴ μάλιστα εἱλοῦνται αἱ τρίχες, κορυφή· τὸ δὲ ὑπὸ τῷ βρέγματι μέτωπον· αἱ δὲ παρὰ τοὺς κροτάφους τῶν τριχῶν ἐκφύσεις, ἴουλοι· χαῖται δὲ αἱ ὄπισθεν κατὰ τὸ ἰνίον ἀφειμέναι τρίχες· αἱ δὲ ἔσχαται τοῦ μετώπου ῥυτίδες, ἐπισκύνιον, ὅπερ ἐπάγομεν τοῖς ὀφθαλμοῖς ἢν πρὸς ἑαυτοὺς φροντίζωμέν τι ἢ αἰδώμεθα. ἄλλοι δὲ τὸ ὑπὸ τὰς ὀφρύας σαρκῶδες, ἐπισκύνιον ὀνομάζουσι. ὀφρύες δὲ τὰ τετριχωμένα τοῦ μετώπου πέρατα, ὧν τὸ μεταξὺ μεσόφρυον· ὑπὸ δὲ ταῖς ὀφρύσι, βλέφαρα, τὸ μὲν ἄνωθεν, τὸ δε κάτωθεν· τούτων δὲ αἱ μὲν ἐκπεφυκυῖαι τρίχες, ταρσοὶ, καὶ βλεφαρίδες· τὰ δὲ ψαύοντα ἀλλήλων πέρατα ἐν τῷ καθεύδειν ἡμᾶς, στεφάναι, καὶ χηλαὶ. τοῦ δὲ ἄνω βλεφάρου τὸ ἐπιπολῆς, κοῖλον· τὸ δὲ ἀναλογοῦν τούτῳ τὸ κάτω, ὑπόκοιλον, ὃ δὴ καὶ ἀνοιδίσκει ἐν τε ὑδέροις, καὶ ἄλλως πονηρᾶς γινομένης τῆς ἕξεως, ἐπί τε χρονίοις αἱμοῤῥοΐσι, καὶ ἐπὶ γυναικὸς χρονίῳ ἰχῶρι, ποτὲ δὲ καὶ ὀφθαλμίαις ἀρχομέναις. καὶ δοκοῦσιν αἱ τοιαῦται ὀφθαλμίαι εὐήθεις εἶναι, διὰ τοῦτο καὶ κοιλοιδιᾶν τὸ πάθημα ὀνομάζεται, ὅτι τῶν κοίλων οἴδημά ἐστι· τὰ δὲ κοῖλα πέρατα τοῦ τε ἄνω, καὶ τοῦ κάτω βλεφάρου, κανθοὶ, ὁ μὲν μείζων, ὁ πρὸς τὴν ῥῖνα· ὁ δὲ ἐλάσσων, ὁ πρός τῷ κροτάφῳ.

ribus ſyncipitis poſitæ tempora dicuntur, græcè corſæ & crotaphi : quod autem in medio capite eſt, ubi maximè capilli involvuntur, verticem vocamus : partem ſub ſyncipite, frontem : juxta tempora pilorum exortus *juli* græcè, latinè lanugo dicuntur : occipitis autem capilli promiſſi crines vocitantur : ultimas frontis rugas Græci epiſcenium vocant, noſtri ſupratentorium dixerint, quod oculis attrahimus, quando nobiſcum aliquid altiùs cogitamus, aut veremur : alii verò partem ſub ſuperciliis carnoſam, epiſcenium vocaverunt. At ſupercilia hirſutæ frontis extremitates ſunt : quorum interſtitium meſophryon græcè, *latinè glabella, quòd glabrum ſit*, dicitur : ſub ſuperciliis palpebræ, *quas etiam genas vocant*, altera ſupra, altera infra ſitæ ſunt : ab iis prodeuntes pili græcè tarſi & blepharides, latinè cilia nominantur : harum extrema, cùm nos dormimus, ſeſe contingentia, coronæ & chelæ, hoc eſt, ungulæ dicuntur : ſuperioris palpebræ ſuperficiei, quod ſuperimpendet, cavum : illi autem reſpondens inferius, ſubcavum vocant. Id ſanè & in aquâ inter cutem, & alioqui in pravo corporis habitu, & in longinquo hæmorrhoidum effluvio, & antiquâ mulierum menſtruâ purgatione, nonnunquam etiam inchoantibus lippitudinibus intumeſcere conſuevit. Hujuſmodi verò lippitudines mitiores eſſe videntur : propterea & id genus affectus, quoniam cavæ partis tumor eſt, græcè κοιλοιδιᾶν dicitur. At cavæ ſuperioris inferioríſque palpebræ extremitates à Græcis canthi, à noſtris anguli nominantur : alter major ad naſum vergens, minor alter tempori propinquus.

Ocu-

Oculi verò, quod in medio aſpicitur, viſio & pupilla nuncupatur : glenam etiam ſimulacrum in pupilla apparens vocant. Quod autem inter pupillam atque album continuum interjacet, iris eſt : ſic utique, quòd colore evariet, nominatur : nam modò nigrum, modò igneum, modò ceſium, modò ſplendidum id eſſe conſpicimus. Corona nigrum ambit, & ab albo diſtinguit, quæ circulus & copula oculi tunicarum eſt. Earum ſanè prima duabus naturis prædita duo quoque nomina gerit : cornicularis quidem in medio, & uſque ad iridem : hæc enim ejus particula expolitis cornibus aſſimulatur : candida verò eſt altera pars omnis, qualis & aſpicitur : nihil mediæ neque naturâ, neque colore ſimilis ; ipſi autem vocata epidermis ſuperincumbit : quâ in juvenibus & ſenioribus, & in affectu, qui chemoſis græcè, unguis latinè dicitur, abſcedente atque elata, ruffum ſive igneum cernitur. Aliæ tunicæ, qua ſint nomenclatura præditæ, paulò inferiùs in animalis diſſectione explicabitur.

Sub oculis inſurgentia oſſa, ſubocularia, nonnulli alii hypopia nominant. A ſuperciliorum medio interſtitio, *quod glabellam vocari diximus*, deorſum verſus naſus protenditur : cujus foramina rhothones, & nares, atticè quoque myxæ appellantur : ſed Hippocrates pituitoſum excrementum per ipſas deſtillans, mixam, Latini mucorem vocant, Athenienſes verò coryzam : cartilagineum illud, quod foramina diſtinguit, naſi interſeptum eſt : partes oſſeæ, quæ utrinque ad malas vergunt, naſi dorſum ; extrema verò hinc atque inde hujuſce oſſei faſtigii pinnæ vocatæ ſunt : iſtæ in vehementiori ſpiritus difficultate, & alioqui cùm volueri-

mus

Ὀφθαλμοῦ δὲ, τὸ μὲν ἐν μέσῳ βλεπόμενον, ὄψις καὶ κόρη· καὶ γλήνην τὸ εἴδωλον τὸ ἐν τῇ ὄψει φαινόμενον καλοῦσι· τὸ δὲ συνεχὲς τῇ ὄψει μέχρι τοῦ λευκοῦ, ἶριν· τοῦτο δὲ ὡς ἔχει χρώματος, μέλαν, ἢ πυῤῥὸν, ἢ γλαυκὸν, ἢ χαροπὸν ὀνομάζουσι. περιθεῖ δὲ στεφάνη τὸ μέλαν, καὶ ἀποκρίνει τοῦ λευκοῦ· κύκλος δὲ ἡ στεφάνη καὶ σύνδεσμος τῶν χιτώνων τοῦ ὀφθαλμοῦ. ὧν δὴ ὁ πρῶτος δύο ἔχων φύσεις, δύο ὀνόματα ἔχει, κερατοειδὴς μὲν κατὰ τὸ μέσον καὶ μέχρι τῆς ἴριδος· τοῦτο γὰρ καὶ ἔοικεν αὐτοῦ τοῖς ξυομένοις κέρασι· λευκὸς δὲ τὸ ἄλλο μέρος πᾶν, οἷός περ καὶ βλέπεται, οὐδὲν ἐοικὼς τῷ μέσῳ, οὔτε τὴν φύσιν, οὔτε τὴν χροιάν. ἐπίκειται δὲ αὐτῷ ἄνωθεν ἡ καλουμένη ἐπιδερμὶς, ἥτις καὶ ἐν νέοις, καὶ ἐν πρεσβύταις, καὶ ἐν τῷ παθήματι τῇ χημώσει ἀφεσαμένη τε καὶ ἐπαίρουσα τὸ πυῤῥὸν ὁρᾶται· τοὺς δὲ ἄλλους χιτῶνας ὅπερ χρὴ ὀνομάζειν, εἰρήσεται ὀλίγον ὕστερον ἐν τῇ διαιρέσει τοῦ ζώου.

Τὰ δὲ ὑπὸ τοῖς ὀφθαλμοῖς ἐπανεστηκότα ὀστᾶ ὑποφθάλμια, οἱ δὲ ὑπώπια καλοῦσιν. ἀπὸ δὲ τοῦ μεσοφρύου τέταται ἡ ῥίς· ταύτης δὲ τὰ μὲν τρήματα ῥώθωνες, καὶ μυκτῆρες, ἀθηναῖοι δὲ καὶ μύξας ὀνομάζουσιν. Ἱπποκράτης δὲ τὸ φλεγματῶδες ἰὸν δι' αὐτῶν περίττωμα μύξαν καλεῖ· ἀθηναῖοι δὲ τὸ περίττωμα τοῦτο κόρυζαν καλοῦσι· τὸ δὲ μεταξὺ τῶν τρημάτων χονδρῶδες, ῥινὸς διάφραγμα. τὰ δὲ ἑκατέρωθεν ἐπὶ τὰ μῆλα νεύοντα ὀστώδη, ῥινὸς ῥάχις· τὸ δὲ πέρας τοῦ ὀστώδους ὑψώματος τὸ ἔνθεν καὶ ἔνθεν, πτερύγια. ταῦτα δὲ καὶ κινεῖται ἐν ταῖς σφοδραῖς δυσπνοίαις, καὶ ἄλλως

βουληθέντων· τὸ δ' πρὸ τοῦ διαφράγματος τῆς ῥινὸς σαρκῶδες ἐπὶ τὸ χεῖλος καθῆκον, κίων· τὸ δ' ἄκρον τῆς ῥινὸς, σφαίριον. τὸ δ' ὑπὸ τῷ κίονι ἐν τῷ ἄνω χείλει κοῖλον, φίλτρον. τὸ δὲ ὅλον μετὰ τὴν ῥῖνα τοῦ ἄνω χείλους, ὑποῤῥίνιον. εἶτα χείλη δύο, ὧν τὰ μὲν ἄκρα πρόχειλα· τὸ δὲ σύμβλητον τῶν χειλῶν προσόμιον· τὸ δὲ ἐπὶ τῷ κάτω χείλει κοῖλον, νύμφη· τῶν δ' ὤτων ἀκοὴ μὲν, ὁ πόρος δι' οὗ ἀκούομεν· λοβὸς δὲ, τὸ ἐκκρεμὲς, ὅπερ καὶ μόνον Ἀριστοτέλης φησὶ τοῦ ὠτὸς ὀνομάζεσθαι, τὰ δὲ ἄλλα ἀνώνυμα εἶναι· οἱ δὲ ἰατροὶ καὶ ταῦτα ὠνόμαζαν, πτερύγιον μὲν τὸ ἀνωτάτω πλατὺ ἐπικλινές. ἕλικα δὲ, τὸ ἐντεῦθεν συμπληροῦν τὴν περιφέρειαν τῶν ὤτων· ἀνθέλικα δὲ τὸ ἐν μέσῳ ὑπεραῖρον τὴν κοιλότητα· κόγχην δὲ τὸ ἀπὸ τῆς ἀνθέλικος κοῖλον· τὸ δὲ ἀπεναντίον τῆς κόγχης ἔξαρμα, παρὰ τὸ πέρας τοῦ κροτάφου, τράγον· τὸ δὲ τῆς ἕλικος τέλος τὸ ὑπόβραχυ, ἀντιλοβίδα.

Πρόσωπον δὲ ὠνόμασαι πᾶν τὸ ἔμπροσθεν τῆς κεφαλῆς· μῆλα δὲ τὰ ὑπὸ τοῖς ὀφθαλμοῖς ἐξάρματα τοῦ προσώπου, ἃ δή καὶ αἰδουμένων ἡμῶν ἐρυθραίνεται. ἀπὸ δὲ τῶν μήλων αἱ παρειαὶ, καλοῦνται καὶ σιαγόνες, καὶ γνάθοι, καὶ προσέτι γε ἡ μὲν κάτω, ἡ δὲ ἄνω· καὶ τὸ ἄποξυ τῆς κάτω γνάθου, γένειον καὶ ἀνθερεών. τὸ δὲ ὑπὸ τὴν κάτω γνάθον σαρκῶδες, λαυκανίαν· οἱ δὲ ἀνθερεῶνα μὲν τοῦτο, λαυκανίαν δὲ τὸ πρὸς τῇ κλειδὶ κοῖλον ὀνομάζουσι· τοῦ δὲ πώγωνος,

mus,agitantur: carneum autem illud ante naſi ſeptum in labia deſcendens columna; naſi extremitas, globulús appellatur: at ſub columna in ſuperiori labro cavitas philtrum græcè vocata eſt, *quaſi amatorium, ſive amabile dixeris:* ſed totum ſub naſo ſuperioris labii hyporrhinion *Græcis* eſt: *Latino vocabulo caret:* deinde labia duo, quorum extrema *græcè* prochila, *latiné* prolabia dici poſſunt: quâ parte autem committuntur, proſtomion vocant: inferioris labii cavitatem, nympham. Aurium foramen, per quod voces exaudimus, auditum appellârunt, partem pendulam *Latini* fibram, *Græci* lobon vocant: quam etiam ſolam auris particulam nomen habere, cæteras verò nomine carere dixit Ariſtoteles: cæterum medici illis quoque nomina impoſuere, pinnam quidem ſupremam partem latam atque declivem appellaverunt: helicem totum illud, quod deinde aurium extremam oram ambit: anthelicem id, quod in medio cavitatem extollit: concham poſt anthelicem cavum: oppoſitam verò conchæ eminentiam juxta temporis fines tragum, *latinè* hircum dixeris: helicis finem, qui ſubbrevis eſt, antilobida vocant.

Tota capitis prior pars facies dicitur. Malæ ſub oculis faciei eminentiæ ſunt ubi pudoris ſedes eſt: maximéque ibi rubor oſtenditur: poſt malas autem maxillæ habentur: quarum altera ſuperior, altera inferior eſt, inferioríſque maxillæ acies mentum eſt: ſub eâdem inferiore maxillâ carnoſa pars leucania *græcè* dicitur: ſed nonnulli hanc quidem carnoſam partem mentum, leucaniam verò cavum jugulo proximum appellaverunt. Barbæ prima ſub

temporibus germinatio iulus *à Græcis, à noſtris* lanugo dicta eſt: primus ejus in ſuperiori labro exortus *græcè* propogonium, *latinè* probarbium: ſi fingere liceat, dicito qui pili poſtea adaucti myſtaces appellantur: ſed in ſummo mento pili, pappus, ſub mento autem hypena *Græcis vocibus* dicuntur: *latina nomina deficiunt.*

Prima labiorum diviſura, & interior uſque ad fauces inanitas os eſt: in ore autem alia ſunt, & dentes, quos nonnulli cranteras appellant: horum primores quatuor inciſores, caninos autem ſequentes utrinque ſingulos: molares verò, & maxillares poſt caninos utraque ex parte quinos vocare conſuevimus: ſophroniſteras, hoc eſt, moderatores, horum intimos atque ultimos *Græci* vocant: quòd eo tempore, quo moderatos temperantéſque eſſe oportet, oriri incipiunt. Ab utrâque parte unus eſt, genuinos *Latini* appellant: totidem & ſuperioris maxillæ, eadémque nomina ſortiti ſunt dentes. Maxillarum colligatio habena, menſæ ſummitates latæ molarium, mortariola & maxillarum cavitates, in quibus dentes defixi ſunt, appellantur. Gingivæ circa radices dentium carunculæ ſunt. Linguæ radix, unde ipſa exoritur, nominatur: pars ejus muſculoſa ore contenta lingua eſt: cervix, quæ ſequitur; paraſyra autem, quæ ab utroque linguæ latere ſunt, *Græci* nominant: hypogloſſida partem linguæ inferiorem, epigloſſida verò, quod intimum eſt gutturi operculum quoddam impoſitum: ne cùm devoramus, quippiam in pulmones irruat: ſed, cùm ſpiritus ducitur, ne tranſeuntem aerem impediat, ſublimis attollitur. Cœlum verò, & palatum con-

ἡ μὲν πρὸς τοῖς κροτάφοις πρώτη βλάστησις, ἴουλος· ἡ δὲ πρὸς τῷ ἄνω χείλει πρώτη βλάστη, προπωγώνιον· αὐξηθεῖσαι δὲ αὗται αἱ τρίχες, μύστακες· αἱ δὲ ἐπ᾽ ἄκρον τοῦ γενείου, πάππος· αἱ δὲ κάτω τῆς γένυος, ὑπήνη.

Στόμα δὲ καὶ ἡ πρώτη τομὴ τῶν χειλέων, καὶ ἡ ἐφεξῆς εὐρυχωρία μέχρι τῆς φάρυγγος· ἐν δὲ τῷ στόματι ἄλλα τέ ἐστι, καὶ οἱ ὀδόντες· ἔνιοι δὲ κραντῆρας ὀνομάζουσι. τούτων δὲ τομεῖς μὲν τοὺς ἔμπροσθεν τέσσαρας, κυνόδοντας δὲ τοὺς ἐφεξῆς, ἕνα ἑκατέρωθεν· μύλους δὲ καὶ γομφίους τοὺς μετὰ τοὺς κυνόδοντας, πέντε ἑκατέρωθεν. σωφρονιστῆρας δὲ, τοὺς ἐσωτάτω καὶ ἐσχάτους, ἡνίκα ἂν δεῖ σωφρονεῖν ἄρχωνται, φυομένους ἕνα ἑκατέρωθεν. τοσοῦτοι μὲν οἱ τῆς ἄνω γνάθου, καὶ ὡσαύτως ὠνομασμένοι. ἡ δὲ συνώδεσις τῶν γνάθων, χαλινός. τράπεζα δὲ τὰ πλατέα τῶν γομφίων· ὁλμίσκοι δὲ καὶ αἱ τῶν γνάθων κοιλότητες, εἰς ἃς ἐμπεπήγασιν οἱ ὀδόντες· οὖλα δὲ αἱ περὶ τὰς ῥίζας σάρκες· τῆς δὲ γλώττης, ῥίζα μὲν, ὅθεν ἐκπέφυκε· τὸ δὲ ἐν τῷ στόματι μυῶδες γλῶσσα καλεῖται· αὐχὴν δὲ τὸ ἐφεξῆς. παρασύρματα δὲ τὰ ἔνθεν καὶ ἔνθεν τῆς γλώσσης. ὑπογλωττὶς δὲ, τὸ κάτωθεν. ἐπιγλωττὶς δὲ τὸ ἔνδον ὑπὲρ τοῦ βρόγχου πῶμά τι γινόμενον, ὅταν καταπίνωμεν, τοῦ μηδὲν εἰς τὸν πλεύμονα ἐμπίπτειν· ἀναπνεόντων δὲ μετέωρόν ἐστιν, ὡς μὴ κωλύῃ τὸ ἀναπνεῖν. οὐρανὸς δὲ καὶ ὑπερώα τὸ περιφερὲς τῆς ἄνω

γνά-

γνάθου. κίων δὲ καὶ γαργαρεὼν ἡ ἐκ τῆς ὑπερῴας πρόσφυσις. Ἀριστοτέλης δὲ σταφυλοφόρον αὐτὸ καλεῖ, ὅτι φλεγμήναντος σταφυλῇ τι ὅμοιον ἐξ αὐτοῦ κρεμάννυται. σταφυλὴν γὰρ, οὐ τὸ μόριον, ἀλλὰ τὸ πάθημα χρὴ ὀνομάζειν. φάρυγξ δὲ ἢ φαρύγεθρον, ἡ πρὸς τῇ καταπόσει πᾶσα εὐρυχωρία· ταῦτα ἄρα καὶ Ὅμηρος ἐποίησε.

φάρυγγος δ᾽ ἐξέσσυτο οἶνος ψωμοί τ᾽ ἀνδρόμεοι.

Οὐ γὰρ δὴ ἐκ τοῦ βρόγχου καὶ τοῦ πνεύμονος ἐπανήμει ὁ κύκλωψ τὸ σιτίον καὶ πόμα· τοῦτο γὰρ δεινῶς ἀμαθὲς καὶ ἀνόητον. παρίσθμια δὲ καὶ ἀντιάδες καὶ μῆλα, τὰ ἑκατέρωθεν τοῦ φαρυγέθρου σαρκώδη καὶ ἀδενοειδῆ. τέσσαρες δὲ εἰσιν αἱ ἀντιάδες, αἱ μὲν ἔνθεν καὶ ἔνθεν, ἄκρον τοῦ βρόγχου· αἱ δὲ ἐφεξῆς καὶ κατωτέρω.

Μετὰ δὲ τὴν κεφαλὴν, τράχηλος. τὸ δὲ αὐτὸ καὶ δειρὴ καὶ αὐχήν· ὑποδερὶς δὲ τὸ ἐκ τοῦ πρόσθεν τελευταῖον τῆς δειρῆς. τραχήλου δὲ τὸ μὲν ἔμπροσθεν, βρόγχος καὶ τραχεῖα ἀρτηρία, δι᾽ οὗ ἀναπνέομεν, καὶ ἡ ὑπεροχὴ τοῦ βρόγχου λάρυγξ· τὸ δὲ ὄπισθεν αὐτοῦ, τένοντες· τὸ δὲ πρὸς ταῖς κλεισὶ κοῖλον, Ὅμηρος μὲν καλεῖ λευκανίην, οἱ δὲ ἰατροὶ ἀντικάρδιον καὶ σφαγήν· τὰ δὲ ἀπὸ τῶν τενόντων ἐπὶ τοὺς ὤμους καθήκοντα, ἐπωμίδες. ὦμος δὲ, ἡ κεφαλὴ τοῦ βραχίονος, ἡ πρὸς τὴν ὠμοπλάτην καὶ τὸ σύμπαν ἄρθρον· κοτύλη δὲ ὤμου τὸ κοῖλον τῆς ὠμοπλάτης. ὠμοπλάται δὲ τὰ ἐγκείμενα τῷ νώτῳ πλατέα ὀστέα, ὧν αἱ διὰ μέσου ὑπεροχαὶ ῥάχις ὠμοπλατῶν·

ἀκρώ-

concava eſt ſuperioris maxillæ pars. Columna & gurgulio quidam ex palato proceſſus, quem Ariſtoteles uviferum nominavit: quoniam ea parte inflammata uvæ quiddam ſimile pendere videtur. Uvam enim non partem, ſed affectum nominari oportet. Fauces omnis ea capacitas quam inter devorandum dilatamus, vocata eſt: propterea & Homerus dixit,

Faucibus erupit vinúmque humanáque membra.

Neque enim ex arteria aſpera, & pulmone cibum potúmque Cyclops evomuit; id enim mirum in modum rude, fatuúmque fuiſſet. Pariſthmia dicuntur, & antiades, & mala, *latinè* tonſillæ, carnoſæ quædam glanduloſæque partes utrinque à lateribus faucium poſitæ. Hæ numero quatuor ſunt, duæ in ſummo gutture utrinque, reliquæ inferius locatæ.

Infra caput eſt collum, quod & cervicem vocant. Hypodiris *græco vocabulo* eſt in priori parte colli poſtremum: in priori item colli parte bronchus eſt, & aſpera arteria, per quam ſpiritus ducitur. Bronchi ſummitas guttur eſt: at poſteriore colli parte tendones ſunt; jugulis proximum cavum Homerus leucaniam vocavit: ſed medici anticardion, quaſi cordi oppoſitum, & jugulationem appellant. Quæ autem à tendonibus ad humeros pertinent, epomidas vocant. Humerus verò brachii caput eſt, quod lato ſcapularum oſſi inſeritur, & cum toto etiam articulo copulatur. At humeri acetabulum eſt lati ſcapularum oſſis cavitas. Lata ſcapularum oſſa *à Græcis* omoplatæ vocata ea ſunt, quæ tergo incumbunt: quorum intermediæ eminentiæ ipſorum

ipſorum dorſum dicitur. Acromion juguli, ſcapularúmque oſſis copula eſt. Eudemus verò oſſiculum perexiguum eſſe dixit acromion. Claves, quæ & ligula dicuntur ſub imo collo oſſa ſunt cum pectoris oſſe commiſſa, humeros ſcapuláſque, ne in pectus cadant, ut aliis contingit animalibus, prohibentia; nam cætera animalia jugulis privata ſunt: quocirca & latiſſimi pectoris homo eſt.

Ala ſub humeri articulo cavitas eſt, in quam ſæpe humerus luxatione delabitur. Malam verò appellare haud Græci ſermonis eſt; aliquid autem ſub ala celantem ferre, ſub mala habere dicunt. Humerus illud etiam *à Latinis* dicitur, quod exit ab humero, *ſed à Græcis* brachium. Hujus apud humerum rotunditas caput humeri eſt. Interior juxta cubitum exceſſus, quem nonnullos imperitè proceſſum autumare dixit Hippocrates, & ipſe alterum humeri caput eſt: poſt humerum totus articulus, acutúmque illud, cui reclinati incumbimus, ancon à quibuſdam, ab aliis olecranon vocatur. Dores autem Siciliam incolentes, cubitum, *ut nunc apud Latinos in uſu eſt*, appellant. Quin Epicharmus cubito ferire κυβιτίζειν, hoc eſt cubitiſſare, *verbum è verbo transferendo*, appellat; oſſium verò brachii quod ſubjicitur cubitus, ſupra poſitum radius eſt; hæc ad brachiale protenduntur: poſt quod lata pars & compacta, palma *latinè*, *græcè* metacarpion, tarſúſque nominatur: ſequuntur digiti. Manus totum illud eſt quod ab humero pendet, & extremum quo apprehendimus. Ex digitis magnus polléxque eſt ab aliis ſummotus: alter index inter quatuor primus; tertius medius

voca-

ἀκρώμιον δὲ ὁ σύνδεσμος τῆς κλειδὸς καὶ τῆς ὠμοπλάτης. Εὔδημος δὲ ὀστάριον εἶναί φησι μικρὸν τὸ ἀκρώμιον. κλεῖδες δὲ τὰ ὑπὸ τῷ τραχήλῳ ὀστᾶ. αὗται πρὸς τὸ στῆθος ἠρθρωμέναι εἴργουσι τοὺς ὤμους καὶ τὰς ὠμοπλάτας μὴ συμπίπτειν, ὥσπερ τοῖς ἄλλοις ζώοις. ἐκεῖνα γὰρ κλεῖδας οὐκ ἔχει. διὰ τοῦτο καὶ ἄνθρωπος πλατυστερνότατος.

Μασχάλη δέ ἐστι τὸ ὑπὸ τῷ ὤμῳ κοῖλον, εἰς ἣν τὰ πολλὰ ὀλισθαίνει ὁ ὦμος· μάλην δὲ οὐχ ἑλληνικὸν ὀνομάζειν. τὸ δὲ φέρειν τι κρύπτοντα ἐν τῇ μασχάλῃ, ὑπὸ μάλης ἔχειν λέγεται. βραχίων δὲ τὸ ἐφεξῆς τοῦ ὤμου· τούτου δὲ ἡ μὲν πρὸς τῷ ὤμῳ περιφέρεια, κεφαλὴ βραχίονος, καὶ ἡ ἔσω ὑπεροχὴ παρὰ τὸν ἀγκῶνα, ἣν δή φησιν Ιπποκράτης ἐνίους ἀμαθῶς νομίζειν ἀπόφυσιν εἶναι τοῦ πήχεως, καὶ αὐτὴ κεφαλὴ βραχίονος· μετὰ δὲ τὸν βραχίονα, ἀγκὼν τὸ σύμπαν ἄρθρον, καὶ τὸ ὀξὺ ἐφ' οὗ κλινόμενοι στηριζόμεθα· οἱ δὲ ὀλέκρανον καλοῦσι· δωριεῖς δὲ οἱ ἐν Σικελίᾳ κύβιτον. Επίχαρμος δὲ καὶ τὸ παίειν τῷ ἀγκῶνι κυβιτίζειν ἔλεγε. τῶν δὲ ὀστῶν τοῦ ἀγκῶνος, τὸ μὲν ὑποτεταγμένον, πῆχυς· τὸ δὲ ἐπικείμενον, κερκίς. περαίνει δὲ ταῦτα πρὸς τὸν καρπόν. τὸ δὲ ἐφεξῆς τοῦ καρποῦ πλατὺ καὶ συμφυὲς μετακάρπιον, καὶ ταρσός· εἶτα δάκτυλοι. χεὶρ δὲ τὸ ὅλον ἀπὸ τοῦ ὤμου καὶ ᾧ κρατοῦμεν. δακτύλων δὲ ὁ μέν τις μέγας, ἀφεστηκὼς τῶν ἄλλων· ὁ δὲ λιχανός, ὁ πρῶτος

τῶν τεσσάρων· ὁ δὲ μέσος· ὁ δὲ παράμεσος· ὁ δὲ μικρός. τὰ δὲ ὀστᾶ αὐτῶν, σκυταλίδες καὶ φάλαγγες· τὰ δὲ πρῶτα ἄρθρα προκόνδυλοι· τὰ δὲ ἐφεξῆς κόνδυλοι, τὰ δὲ τελευταῖα μετακόνδυλοι. αἱ δὲ τῶν ὀνύχων ἀρχαί, ῥιζωνύχια· τὰ δὲ ἔσωθεν πέρατα τῶν δακτύλων, ῥᾶγες, καὶ κορυφαί. στῆθος δὲ τὸ ὑπερέχον ἀπὸ τοῦ μεγάλου δακτύλου σαρκῶδες ὑπὸ τὸ κοῖλον τῆς χειρός. θέναρ δὲ τὸ μεταξὺ διάστημα τοῦ λιχανοῦ καὶ τοῦ μεγάλου δακτύλου σαρκῶδες, ὑφ' ᾧ τὸ κοῖλον τῆς χειρός. ὑποθέναρ δὲ τὸ ὑπὸ τοῖς τέτρασι δακτύλοις. δοκεῖ δέ μοι Ἱπποκράτης πᾶν τὸ πλατὺ τῆς χειρὸς θέναρ ὀνομάζειν.

Ἀπὸ δὲ τῶν κλειδῶν στῆθος μὲν τὸ ἔμπροσθεν τὸ μέσον· εἰς ὃ δὲ ἐμβάλλουσιν αἱ πλευραί, στέρνον. νῶτον δὲ τὸ ἐξόπισθεν ἀπὸ τοῦ αὐχένος μέχρι τοῦ μεταφρένου· μετάφρενον δὲ τὸ μεταξὺ τοῦ νώτου καὶ ὀσφύος κατὰ τὴν τῶν νεφρῶν πρόσφυσιν. ὀσφὺς δὲ τὸ τελευταῖον τῆς ῥάχεως. αἱ δὲ ὑπὸ τῷ στήθει σαρκώδεις ὑπεροχαί, μαστοί, καὶ τιτθοί. μαστοῦ δὲ τὸ μὲν ἄκρον, θηλή· ἡ δὲ πρώτη ἐν τῷ ἡβάσκειν αὔξησις, κύαμος· ὁ δὲ ὅλος ὄγκος, ἄσκωμα· κυρτώτερον δὲ ἐν γυναικί. πλευρὸν δὲ καλεῖται πᾶν τὸ ὑπὸ τῇ μασχάλῃ· τὰ δὲ ὀστᾶ, πλευραί· τὰ δὲ μεταξὺ αὐτῶν, μεσοπλεύρια. νόθαι δὲ πλευραί, αἱ μὴ περαίνουσαι πρὸς τὸ στέρνον· τὸ δὲ ὑπὸ τῷ στήθει κοῖλον, στόμα κοιλίας· οἱ δὲ προκάρδιον, οἱ δὲ καρδίαν ὀνομάζουσι· καὶ τοὺς πόνους τοὺς ἐνταῦ-

vocatur, quartus anularis, ultimus parvus. Ipſorum oſſa ſcuticulæ, & phalanges, & internodia: primi articuli procondyli græco vocabulo, (*latino enim carent*) medii condyli: poſtremi, metacondyli. Unguium initia, radices unguium vocantur: internæ digitorum ſummitates, acini & vertices: carnoſa pollicis pars ſub manus cavo inſurgens, ſtethos *græce* nominatur, *quod apud Latinos pectus ſonat:* ſpatium, quod inter indicem, pollicemque intercedit, carnoſúmque eſt, ſub quo manus in cavum ſubſidet, thenar dicunt; hypothenar verò, quod ſub quatuor digitis eſt: ſed omnem manus interiorem latitudinem thenar Hippocrates vocaſſe viſus eſt. *Id apud Latinos vola ſignificat.*

A jugulis pectus in priore parte eſt; medium autem, in quod coſtæ ſubeunt, ſternon vocant *Græci, Latini os pectoris:* ab averſa colli parte ad metaphrenon vocatum uſque tergum eſt. Metaphrenon inter tergum lumbóſque, ubi renes adhæreſcunt, locatum eſt. Lumbi verò dorſi ultima pars ſunt: carneæ in pectore eminentiæ, mammæ, atque ubera vocantur: mammæ extrema pars, papilla: primum verò in pubeſcendo incrementum, faba dicitur, totum autem tumorem Græci aſcoma vocant: *latine utrem, ſive uber dicito*; ſed in mulieribus magis propriè. Latus, illud totum quod ſub ala eſt, appellatur; oſſa verò, coſtæ: inter ipſas ſpatia, intercoſtalia nominantur. Spuriæ coſtæ ſunt, quæ ad pectorale os non perveniunt. Sub pectore cavum, ventriculi os dicitur: quod alii procardion, *quaſi latine præcordium*, nonnulli verò cor appellarunt; doloreſque ibi orientes, cordis mor-

ſus, cordiſque dolores eſſe dixerunt. Spuriarum coſtarum extremitates cartilagines ſunt. Muſculoſæ autem partes ſub cartilaginibus collocatæ, hypochondria *græce: ac ſi dicas ſubcartilaginea, latine præcordia à quibuſdam vocantur.* Alvus ac venter deinceps locatur. Epigaſtrion *græce* ſuper ventrem poſita cutis appellatur. Ejus media cavitas umbilicus eſt, venarum, per quas infans alitur, ſegmentum: umbilici pars media, acromphalon vocatur: cutis umbilicum ambiens, quoniam corrugata ſenectutem ſignificat, vetula appellatur: ſub umbilico abdomen eſt, & aqualiculus: huic continua uſque ad pudenda pars pecten atque pubes dicitur, alii ephebæon vocant.

Genitalium porrò membrorum, quæ in maribus ſunt, propendens particula caulis, ac ſtema eſt: quæ autem non pendet, ſedimentum, collúmque veſicæ: lineam per medium diſcurrentem alii tramida, alii orrhon appellarunt: caulis extremitas glans eſt: cutis eam tegens præputium: præputiíque extremum, ſummum præputii. Cavernula verò, per quam ſemen, urinaque profunditur, urethra urinariúmque iter nominatur. Uretera autem ne dicito: ureteres enim alii ſunt, per quos ſcilicet à renibus in veſicam urina delabitur. Scrotum ea cutis eſt, qua gemini involvuntur. Geminos autem, aut teſtes appellare nihil intereſt. Geminorum quod ſupra eſt, caput, quod infra, fundum vocatur: pars ſcroti laxior Laccopedon à quibuſdam achichadaron, ab Athenienſibus laccoſchea nominatur: inter ſcrotum & ſedimentum, & femur locum plichada vocant. Et tranſire

διαπλήσ-

ἐνταῦθα, καρδιωγμοὺς καὶ καρδιαλγίας. χόνδροι δὲ τὰ πέρατα τῶν πλευρῶν τῶν νόθων· ὑποχόνδρια δὲ τὰ ὑπὸ τοῖς χόνδροις μυώδη. κοιλία δὲ καὶ γαστὴρ, τὰ ἐφεξῆς. ἐπιγάστριον δὲ τὸ ἐπὶ τῆς γαστρὸς δέρμα. ὀμφαλὸς δὲ τὸ ἐν μέσῳ κοῖλον, ἡ ἀποτομὴ τῶν φλεβῶν, δι' ὧν τὸ ἔμβρυον τρέφεται· τούτου δὲ τὸ ἐν μέσῳ ἀκρόμφαλον· τὸ δὲ ὑπερκείμενον τῷ ὀμφαλῷ δέρμα, γραῖα, ὅτι ῥυτιδούμενον γῆρας σημαίνει. τὸ δὲ ὑποκάτω τοῦ ὀμφαλοῦ, ὑπογάστριον καὶ ἦτρον· τὸ δὲ συνεχὲς τούτου μέχρι τῶν αἰδοίων ἐπείσιον, καὶ ἥβην, ἄλλοι δὲ ἐφήβαιον καλοῦσι.

Τῶν δὲ αἰδοίων τοῦ μὲν τοῦ ἄῤῥενος, ἡ μὲν ἀποκρεμὴς φύσις, καυλὸς, καὶ στῆμα· τὸ δὲ μὴ ἐκκρεμὲς, ὑπόστημα, καὶ κύστεως τράχηλος· καὶ ἡ διὰ μέσου γραμμὴ, τραμὶς, οἱ δὲ ὄῤῥον ὀνομάζουσι. τὸ δὲ πέρας τοῦ καυλοῦ, βάλανος, καὶ τὸ δέρμα τὸ περὶ αὐτῇ πόσθη, καὶ τὸ ἔσχατον τῆς πόσθης, ἀκροπόσθιον. καὶ τὸ κοίλωμα δι' οὗ τὸ σπέρμα, καὶ τὸ οὖρον ἀποκρίνεται, οὐρήθρα, καὶ πόρος οὐρητικός. οὐρητῆρα δὲ οὐ χρὴ καλεῖν. εἰσὶ γὰρ οὐρητῆρες ἄλλοι, δι' ὧν τὸ οὖρον ἀπὸ νεφρῶν εἰς κύστιν ῥεῖ. ὄσχεος δέ ἐστιν ἐν ᾧ οἱ δίδυμοι. διδύμους δὲ ἢ ὄρχεις καλεῖν οὐδὲν διαφέρει· τῶν διδύμων τὸ μὲν ἐπάνω κεφαλὴ, τὸ δὲ κάτω πυθμήν. καὶ τὸ χαλώμενον τοῦ ὀσχέου λακκόπεδον· οἱ δὲ ἀχιχάδαρον, ἢ λακκοσχέαν τοῦτον ἀθηναῖοι καλοῦσι. τὸ δὲ μεταξὺ ὀσχέου καὶ ὑποστήματος καὶ μηροῦ, πληχάδα, καὶ τὸ διαβαίνειν διαπλήσ-

πλήσ-

πλήσσειν, καὶ τὸ περιβάδην ἀμφιπλήξ. Σοφοκλῆς δὲ καὶ ἐπὶ δρακόντων ἐποίησε,

Θαιρὸν ἀμφιπλῆξ εἰληφότε, ὥσπερ ἂν εἰ ἔφη, περιβεβληκότε τὸν θαιρόν.

Τῆς δὲ γυναικὸς τὸ αἰδοῖον, κλεὶς μὲν τὸ τρίγωνον πέρας τοῦ ὑπογάστρου· ἄλλοι δὲ ἐπείσιον καλοῦσι. σχίσμα δὲ ἡ τομὴ τοῦ αἰδοίου· τὸ δὲ μυῶδες ἐν μέσῳ σαρκίον, νύμφη, καὶ μύρτον· οἱ δὲ ὑποδερμίδα, οἱ δὲ κλειτορίδα ὀνομάζουσι, καὶ τὸ ἀκολάστως τούτου ἅπτεσθαι κλειτορίζειν λέγουσι· μυρτοχείλας δὲ τὰ ἑκατέρωθεν σαρκώδη· ταῦτα δὲ Εὐρύφων καὶ κρημνοὺς καλεῖ· οἱ δὲ νῦν τὰς μὲν μυρτοχείλας, πτερυγώματα· τὸ δὲ μύρτον, νύμφην.

Τῆς δὲ ῥάχεως τὰ ὀστᾶ σφόνδυλοι· Ὅμηρος δὲ καὶ ἀστραγάλους αὐτὰ καλεῖ. καὶ ἡ φύσις τῶν σφονδύλων ἄκανθα· τὸ δὲ τελευταῖον ὀστοῦν τῆς ὀσφύος, ἱερὸν ὀστοῦν, οἱ δὲ ὑποσφόνδυλον καλοῦσι· τὸ δὲ ἄκρον αὐτοῦ, κόκκυγα.

Τὰ δὲ ὑπὸ ταῖς πλευραῖς μαλακὰ, λαπάραι καὶ κενεῶνες· εἶτα λαγόνων ὀστᾶ, καὶ τούτων αἱ κοιλότητες, κοτύλαι. πυγαὶ δὲ τὰ μετὰ τὴν ὀσφὺν σαρκώδη, καὶ ἑφέδρανα, ἐφ᾽ ὧν καθιζόμεθα. ἄλλοι δὲ γλουτοὺς καλοῦσι· τὰ δὲ ὑπὸ τοὺς γλουτοὺς, ὑπογλουτίδες.

Βουβῶ-

διαπλήσσειν, & id quod eſt circum, amphiplix enunciant. Sophocles verò & in Draconibus hoc verbo utitur, dicens,

Cardinem circum comprehendentem, perinde ac ſi dixiſſet, circumplexum cardinem.

Mulieris autem pudendi quod ſupra eſt, pecten dicimus: id triangulum eſt, & imi ventris terminus; ab aliis epiſion appellatur: pudendi rima ſchiſma *à Græcis* dicitur, *ſciſſuram latine interpretamur:* muſculoſa in medio caruncula nympha & myrton, ab aliquibus hypodermis, ab aliis clitoris nominatur: laſcivéque eam tractare κλιτοριάζειν dicunt. Myrtochilas verò utrinque poſita carnoſa corpora: cæterùm hæc Euripho & cremnos, id eſt rupes vocat. Sed noſtræ ætatis medici myrtochilas pterigomata (*quaſi alas dixeris*) appellant, myrton verò nympham.

Dorſi oſſa vertebræ ſunt, quas etiam Homerus aſtragalos, id eſt, talos vocat: tota autem vertebrarum compago ſpinam conſtituit. Extremum lumborum os ſacrum eſt: id ab aliquibus etiam hypoſpondylon, *quod ſubvertebrum latine verteris*, dicitur. Ejus ultimum oſſiculum coccyx, *id eſt cuculus*, eſt.

Sub coſtis molles partes *à Græcis* laparæ & ceneones, *à Latinis ilia* vocantur. Deinde illum oſſa, quorum excavata capita, heminæ & acetabula. Clunes autem ac ſedilia poſt lumbos carnoſæ partes; quoniam illis ſedendo nitimur, ab aliis nates dictæ ſunt; ſub quibus hypoglutides, *id eſt ſubnatales vocatæ*, jacent.

Ingui-

Inguina fœmorum priores partes ſunt prope pubem poſita: nervus autem ad acetabulum pertinens, ac totus articulus coxendix dicitur. Fœmorum internæ partes parameria *Græcis, fœmina Latinis ſunt.* Inter fœmina autem loca, meſomeria *græce, interfœminia latine* dicito. Muſculi genibus inhærentes epigunides, *quaſi geniculares dixeris*, vocantur: oſſi autem ſuper genu poſito epigonatis *græca* appellatio, *latina, patella eſt:* Hippocrates verò epimylida vocavit. Genu articulus eſt fœmur cruri committens. Poples poſterior pars eſt, in quam genu inflectimus. Gaſtrocnemia *græco nomine* magnus muſculus eſt, *latine ſura*; unde latus nervus oriens ad calcem tendo factus adhæreſcit. Oſſium verò cruris quod poſterius eſt, ſura quoque dici poteſt; prius autem, tibia. Sed Herophilus ſuram radium etiam appellavit: utriuſque oſſis extrema pedi inſerta malleoli ſunt. Tali veró non recte vocantur; ſiquidem & humanus pes talum ſub malleolo abditum, non conſpicuum habet. Calx poſtremum pedis rotundum eſt. Planta & tarſus pars prior & ampla eſt. Stethos verò *id eſt latine pectus*, pars inferior poſt cavum, unde naſcuntur digiti, vocatur: iſtos autem perinde, ut manus digitos, appellare, aliáque manuum digitis communia recenſere, nihil eſt quod impediat.

Igitur quæ oculis aperta ſunt, ô fili, ſubjectáque his oſſa in hunc modum nominare decens eſt. Modò interiora corporis membra ſimiam diſſecantes propriis nominibus illuſtrare tentabimus: quandoquidem ipſa oſſibus, muſculis, extis, arteriis, venis, nervis ad naturam hominis proximè accedit:

3 ſecundo

Βουβῶνες δὲ τὰ ἔμπροσθεν τῶν μηρῶν τὰ παρὰ τὴν ἥβην. ἰσχίον δὲ καὶ τὸ νεῦρον τὸ πρὸς τὴν κοτύλην, καὶ ὅλον τὸ ἄρθρον. τῶν δὲ μηρῶν τὰ ἔσω παραμήρια· τὰ δὲ μεταξὺ τῶν μηρῶν, μεσομήρια· οἱ δὲ πρὸς τοῖς γόνασι μύες, ἐπιγουνίδες, καὶ τὸ ὀστοῦν τὸ ἐπὶ τῷ γόνατι ἐπιγονατίς. Ἱπποκράτης δὲ ἐπιμυλίδα ὀνομάζει. γόνυ δέ ἐστι τὸ ἄρθρον τοῦ μηροῦ τὸ πρὸς τὴν κνήμην. καὶ ἰγνύα τὸ ὄπισθεν, ἐν ᾧ κάμπτομεν τὸ γόνυ· γαστροκνημία δὲ, ὁ μέγας μῦς ὁ ὄπισθεν τῆς κνήμης, ἀφ' οὗ τὸ πλατὺ νεῦρον τὸ πρὸς τῇ πτέρνῃ ὁ τένων πέφυκε. τῶν δὲ ὀστῶν, τὸ μὲν ἔσω, κνήμη, καὶ τοῦτο τὸ ἔμπροσθεν ἀντικνήμιον. Ἡρόφιλος δὲ καὶ τὴν κνήμην κερκίδα ὀνομάζει· τὰ δὲ ἄκρα ἀμφοῖν τοῖν ὀστοῖν, τὰ πρὸς τῷ ποδὶ σφυρὰ καλεῖται, ἀστράγαλος δὲ οὐκ ὀρθῶς. ἔχει μὲν γὰρ καὶ ἀστράγαλον ὁ ποὺς τοῦ ἀνθρώπου ὑπὸ τῷ σφυρῷ, καὶ οὐκ ἐμφανῆ· πτέρνα δὲ τὸ ὄπισθεν περιφερὲς τοῦ ποδός· πεδίον δὲ καὶ θαρσὸς τὸ ἔμπροσθεν πλατύ· στῆθος δὲ τὸ κάτωθεν μετὰ τὸ κοῖλον, ἀφ' οὗ οἱ δάκτυλοι. καλεῖν δὲ τούτους ἀνάλογον τοῖς τῆς χειρὸς δακτύλοις, καὶ τὰ ἄλλα κοινὰ πρὸς τοὺς τῶν χειρῶν δακτύλους, οὐδὲν κωλύει.

Τὰ μὲν οὖν ἐπιφανῆ, ὦ παῖ, σὺν τοῖς ὑποκειμένοις ὀστοῖς οὕτω χρὴ καλεῖν. τὰ δὲ ἔνδον τούτων τὸν πίθηκον ἀνατέμνοντες, ὀνομάζειν πειρασόμεθα. ἐγγυτάτω γὰρ τὴν φύσιν ἀνθρώπου καὶ τοῖς ὀστοῖς, καὶ τοῖς μυσὶ, καὶ τοῖς σπλάγχνοις, καὶ ταῖς ἀρτηρίαις, καὶ ταῖς φλεψὶ, καὶ τοῖς νεύροις·

δεύτερα δὲ τὰ ἄλλα τὰ πολυσχιδῆ· τρίτα τὰ ἀμφοδόντα τῶν διχηλῶν. τὰ δὲ μὴ ἀμφοδόντα καὶ μόνυχα, προσωτάτω. εἰ δέ τινα εἴρηται μετὰ τῶν ἐπιφανῶν, οὐδὲν δεῖ ὑπὲρ τούτου δὶς λέγειν.

Ὁρᾷ δὴ τοίνυν τὸν ὑπὸ τῷ δέρματι τοῦ κρανίου χιτῶνα, οὗτος περικράνιος καλεῖται. ὃν δ' ἂν ἴδοις περὶ τοῖς ἄλλοις ὀστοῖς, περιόστιος καλεῖται. τὰς δὲ συμβολὰς τῶν ὀστῶν τοῦ κρανίου, ῥαφὰς καλοῦσιν. ἐοίκασι δὲ δυοῖν πριόνων συνθέσει, ὧν μία μὲν περιφερὴς ῥαφὴ, τὸ γὰρ βρέγμα περιτέμνεται· ἄλλη γὰρ τὸ ἰνίον, ἄλλη δὲ μέσην τὴν κορυφὴν· ἔστι δ' οἷς αὕτη ὑπερβᾶσα τὴν διὰ τοῦ βρέγματος, τελευτᾷ εἰς τὸ μεσόφρυον. δύο δὲ ἄλλαι τοῖς ὀστοῖς τῶν κροτάφων, ὥσπερ λεπίδες ἐπιπεφύκασιν. ὀνόματα δὲ αὐτῶν παλαιὰ οὐκ ἔστιν, ἀλλὰ νῦν ἐτέθη ὑπὸ τινῶν αἰγυπτίων ἰατρῶν φαύλως ἑλληνιζόντων, στεφανιαία μὲν τῇ πρὸς τὸ βρέγμα· λαμβδοειδὴς δὲ, τῇ περὶ τὸ ἰνίον· ἐπιζευγνύουσα δὲ, τῇ μέσῃ· λεπιδοειδεῖς δὲ, ταῖς τῶν κροτάφων. οὗτοι γὰρ καὶ τὰ τῶν ἄλλων ὀστῶν μόρια ὀνομάζουσιν ἀνώνυμα τοῖς πάλαι, ἃ ἐγὼ οὐ παραλείψω διὰ τὴν εἰς τὰ νῦν τῶν ἰατρῶν δήλωσιν.

Διπλόη δὲ τὸ μεταξὺ τῶν ὀστῶν τοῦ κρανίου, ὅθεν ἡ ῥὶς ἄρχεται. τὰ πυκνὰ ταύτης τρήματα ἠθμοειδῆ καλεῖται,

δι

ſecundò alia multifida: tertiò ex biſulcis utrinque dentata. Non utrinque dentata, ac ſolidipeda longiſſima ab hominis ſimilitudine ſummota ſunt. Quòd ſi aliquid de membris interioribus exteriora tradentes memoravimus, idem bis repetere ulterius opus non fuerit.

Aſpice itaque ſub calvariæ cute tunicam: hanc pericranion, *quod cranium, hoc eſt calvariam obvolvat, Græci* vocant. Quam verò alia oſſa ambientem tunicam videris, hanc perioſtion, *latinè circumoſſalem verbum verbo reddens,* appellato; qua oſſa calvariæ committuntur, ſuturæ ſunt: quæ duarum ſerrarum compagem imitantur. Earum una quidem rotunda eſt, ſyncipútque circuncidit; altera occiput: tertia medium verticem diducit; quibuſdam etiam hæc ſyncipitis ſuturam tranſiens, frontémque ipſam ſecans, inter ſupercilia terminatur: binæ aliæ in temporum oſſibus in ſquammarum modum totis oris paulatim extenuantur, atque ita inferiora oſſa ſuperioribus leniter inſidunt. Ipſis quidem vetuſta nomina deſunt, ſed nuper à quibuſdam Ægyptiis medicis græcam linguam male doctis impoſita ſunt: ſyncipitis ſuturam coronariam, occipitis lambdoide, *id eſt lambda græcæ literæ ſimilem,* mediam verò conjungentem appellantibus: temporaneas etiam ſuturas lepidoides à ſquammarum ſimilitudine vocaverunt: iidem & aliorum oſſium partibus ab antiquis innominatis nomina indidere; quæ ego, ut aliis noſtri ſeculi medicis innoteſcant, non prætermittenda judicavi.

Inter calvariæ oſſa meditullium diploen nominant: ubi verò naſi initium eſt, crebra ibi forami-

na ithmoide, *hoc eſt cribri ſpeciem referentia*, vocantur: per ea indubiè ſternutamentum, mucúſque propellitur. Nonnulli & hâc parte nos in cerebrum ſpiritum attrahere confirmant. Proxima auribus oſſa ob firmitudinem lapidea nomen habent: ab utroque enim latere ſingula oſſa dura, ſubalbidáque ſunt, magnitudine caput maximi manus digiti æquantia, per quæ auditoria itinera ſervantur. Alii proclives occipitii proceſſus lapideos appellant, idque non rectè: inanes enim, & cavernoſi, & minimè ſolidi nomini non reſpondent. Ab auditoriis autem meatibus ad malas pertinentes proceſſus iugalia oſſa nuncupantur.

Muſculos cava temporum replentes, temporale os: qui inferiorem maxillam amplectuntur, manſores vocant. Tenues illi & oblongi, dorſúmque verſus fauces vergentes proceſſus, ſtiloides *à columnæ ſimilitudine* dicti ſunt. Eudemus autem ipſos gallorum calcaribus aſſimulat, ac ſine appellatione relinquit.

Foramina permulta calcariam excavant: quæ omnia duobus exceptis, quæ cœca appellantur, nomine vacant: inter ſe autem medici altercantur, utranam hoc nomine appellanda ſint: num illa quæ propè maximum calvariæ foramen adjacent, per quod ſpinæ medulla in vertebras delabitur: an illa quæ propè auditorias cavernas, & paulò prius juxta maxillæ articulos ſunt. Sed neque illa, neque hæc adeò cœca ſunt, quin ea in magnum ſpinalis medullæ cavum pervadant, hæc ſub foramina cribrum repræſentantia ſubeant: ac per ipſa omnia nervi tranſire conſpiciuntur, de quibus in diviſionibus ſermo

habe-

δι' ὧν τὸ μὲν ἀληθὲς πταρμὸς καὶ μύξα ἀποκρίνεται· οἱ δὲ καὶ ἀναπνεῖν ἡμᾶς εἰς ἐγκέφαλον ταύτῃ λέγουσι. τὰ δὲ πλησίον τῶν ὤτων ὀστέα, διὰ στεῤῥότητα λιθοειδῆ ὠνόμασται· ἔστι δὲ ἑκατέρωθεν ἓν σκληρὸν καὶ ὑπόλευκον, ὅσον κεφαλὴ τοῦ μεγάλου τῆς χειρὸς δακτύλου, δι' ὧν αἱ ἀκοαὶ τέτρηνται· ἄλλοι δὲ τὰς πρὸς τῷ ἰνίῳ καταφερεῖς ὑπεροχὰς λιθοειδεῖς καλοῦσιν, ἀλλ' οὐκ ὀρθῶς. ὑπόκενοι γὰρ καὶ σηραγγώδεις, καὶ οὐ στερεαὶ κατὰ τοὔνομα· αἱ δὲ ἀπὸ τῶν ἀκοῶν τείνουσαι πρὸς τὰ μῆλα ἀποφύσεις, ζυγώματα.

Καὶ οἱ μύες, οἱ μὲν περὶ ταῖς κοιλότησι τῶν κροτάφων, κροταφῖται· οἱ δὲ περὶ τὴν κάτω γνάθον, μασσητῆρες· αὗται δὲ αἱ λεπταὶ καὶ ὑπομήκεις καὶ κάτω πρὸς τὸ φαρύγγεθρον νεύουσαι ἀποφύσεις, στυλοειδεῖς καλοῦνται. Εὔδημος δ' εἰκάζει μὲν αὐτὰς ἀλεκτρυόνων πλήκτροις, ἀνωνύμους δὲ ἐᾷ.

Τρήματα δὲ πολλὰ μὲν διατέτρηνται διὰ τοῦ κρανίου, πάντα δὲ οὐκ ὠνόμασται χωρὶς δυοῖν· τυφλὰ δὲ ταῦτα καλοῦσι, καὶ οἱ ἰατροὶ διαφέρονται πρὸς ἀλλήλους, ὁπότερα χρὴ καλεῖν τυφλά, ἆρά γε τὰ πρὸς τῷ μεγίστῳ τρήματι τοῦ κρανίου, δι' οὗ ὁ νωτιαῖος εἰς τοὺς σφονδύλους ἐμβάλλει· ἢ τὰ πρὸς ταῖς ἀκοαῖς, καὶ μικρὸν ἔμπροσθεν παρὰ τὰ ἄρθρα τῆς γένυος. ἔστι δὲ οὔτε ἐκεῖνα, οὔτε ταῦτα οὕτω τυφλά, ὥστε μὴ διατρηθῆναι· τὰ μὲν εἰς τὸ μέγα κοίλωμα τοῦ νωτιαίου· τὰ δὲ ὑπὸ τὰ ἠθμοειδῆ· καὶ διὰ πάντων αὐτῶν νεῦρα διαπεφυκότα ὁρᾶται, ὑπὲρ ὧν ἐν ταῖς διαιρέσεσιν εἰρήσεται·

σεται· ἐοίκασι δὲ τυφλὰ αὐτὰ ὀνομάζειν, ὅτι οὐκ εἰς εὐθὺ φαίνεται διατετρημένα.

Ἐν δὲ τῷ κρανίῳ ἔνεστιν ὁ ἐγκέφαλος. τοῦτον δὲ καλύπτουσιν αἱ μήνιγγες, ἡ μὲν παχυτέρα καὶ ῥωμαλεωτέρα πρὸς τῷ ὀστῷ· ἡ δὲ λεπτοτέρα, καὶ εὔρωστος μὲν, ἀλλ' ἧσσων, ἡ πρὸς τῷ ἐγκεφάλῳ. τὸ δὲ ἄνωθεν τοῦ ἐγκεφάλου κιρσοειδές· τὸ δὲ κάτωθεν, καὶ ὀπίσω, βάσις· ἡ δὲ ἀπὸ τῆς βάσεως ἔκφυσις, παρεγκεφαλίς· αἱ δὲ κοιλότητες, κοιλίαι ἐγκεφάλου. ὁ δὲ καλύπτων τὰς κοιλίας ἔνδοθεν χιτὼν χοροειδής. Ἡρόφιλος δὲ καὶ μήνιγγα χοροειδῆ καλεῖ· τὰ δὲ ἀπὸ τοῦ ἐγκεφάλου βλαστήματα, νεῦρα αἰσθητικὰ, καὶ προαιρετικὰ, δι' ὧν αἴσθησις καὶ προαιρετικὴ κίνησις, καὶ πᾶσα σώματος πρᾶξις συντελεῖται. τούτων δὲ τῶν νεύρων ἔνια καὶ ἀπὸ τοῦ νωτιαίου μυελοῦ πέφυκε, καὶ τῆς μήνιγγος τῆς περὶ τοῦτο. νωτιαῖον δὲ καὶ ῥαχίτην ὡσαύτως καλεῖν πάντα τὸν διὰ τῶν σφονδύλων μυελόν.

Τῶν δὲ τοῦ ὀφθαλμοῦ χιτώνων, ὁ μὲν πρῶτος ἐν τοῖς ἐπιφανέσιν ὠνόμασται κερατοειδής· οἱ δὲ ἄλλοι, ὁ μὲν δεύτερος ῥαγοειδὴς, καὶ χοροειδὴς, τὸ μὲν ὑποκείμενον αὐτῷ τῷ κερατοειδεῖ, ῥαγοειδὴς, ὅτι ἔοικε ῥαγὶ τῇ ἔξωθεν λειότητι, καὶ τῇ ἔσωθεν δασύτητι· τὸ δὲ ὑπὸ τῷ λευκῷ, χοροειδὴς, ὅτι μετὰ φλεβῶν ἐστὶ τῷ περὶ τὸ ἔμβρυον περικειμένῳ χοροειδεῖ ἐοικώς. ὁ δὲ τρίτος περιέχει μὲν ὑαλοειδὲς ὑγρόν· καλεῖται δὲ ἀρχαῖον ὄνομα ἀραχνοειδὴς διὰ λεπτό-

habebitur : verum ideò ipſi cœca dixiſſe viſi ſunt, quòd non in rectum excavata eſſe cernantur.

Intra calvariam cerebrum continetur : id membranæ circumvolvunt, altera craſſior, robuſtiórque oſſi proxima : tenuior altera, & firma quidem, ſed priore minus, quæ cerebrum contingit. Summa cerebri pars varicoſa appellatur : inferior atque poſterior baſis : à baſi oriens proceſſus parencephalis *græcè, latinè cerebellum.* Ipſius cavernæ cerebri ventriculi : ventriculos interius obvolvens tunica choroides, *hoc eſt ſecundinis ſimilis*, cognominatur. Herophilus autem & membranam choroide, *id eſt ſecundinis ſimilem*, appellat. Germina à cerebro enaſcentia nervi ſenſorii electoriíque ſunt, per quos ſenſus & voluntaria motio fit, omniſque corporis actio perficitur : horum autem nervorum quidam à ſpinali medulla, & ex ipſam cingente membrana expullulant. Dorſalem verò, ſpinalémque omnem pariter per vertebras defluentem medullam nominant.

Oculi tunicarum primam inter extima, conſpicuáque membra cornicularem ſuperius nominavimus : ſecunda rhagoides atque choroides *græcis vocabulis* dicitur : quâ parte corniculari ſubjicitur : rhagoides, quòd exterius lævore, interius aſpritudine uvæ acino, *quem Græci rhaga dicunt*, ſit perſimilis ; qua verò albam tunicam ſubit, choroides vocatur : quoniam venulis referta ſecundinas quas vocant, fœtui circundatas repræſentat. Deinde tertia humorem à vitri ſimilitudine hyaloidea vocatum continet : hæc antiquo vocabulo propter tenuitatem arachnoides appellata eſt : *latinè aranea-*

lem

lem dicere auſim: at quoniam Herophilus eam reti contracto aſſimilat, nonnulli & reticularem: alii, ab incluſo humore, qui vitri gerit ſimilitudinem, hyaloidea nominarunt. Quarta membranula guttam quandam humoris cryſtalloidea nominatim includit: hæc antiquitus nomine caruit, à poſteris lenticularis ob figuram, cryſtalloides ab contento humore cognominata eſt.

Primam colli vertebram dentem appellare mihi videtur Hippocrates. Sub tonſillis oſſiculum gutturis caput continens quidam à figura ypſiloides appellaverunt, quod Ypſilo græco elemento ſit perſimile. Cæterum Herophilus, quoniam tonſillis aſſideat, aſſeſſorem vocat. Secundæ vertebræ proceſſus ſurſum, ac prorſum verſus ſpectans pyrenoides *ab olivæ nuclei ſimilitudine dictus eſt.* Iter illud, per quod cibi potionéſque in ventriculum deſcendunt, *græcè* ſtomachus, & œſophagus, *latinè gula eſt.* Nervi ab utroque ejus latere, toni: cæteráque ſenſoria, atque fibroſa pariter toni dicuntur, *tenores in latinum vertere liceat.* Aſperæ arteriæ ſummum guttur eſt: anuli ad ejus plexum creati, bronchia, cavernæ, & aortæ nominantur.

Caloris vitæ, arteriarúmque motus initium cor eſt. Ejus ſumma pars caput dicitur, infima & acuta fundum. Cavitates ventriculi, craſſior & lævus arterioſus eſt, tenuior & dexter venoſus, lævo capacior: ab utroque autem capitis latere ceu alæ prominentes, cavæ, molles, & ad totius cordis motum agitabiles, cordis auriculæ ſunt. Cor circumplexæ membranæ pericardios nomen inditum eſt. Ex membranis pectoris, quæ ipſum in duas diducunt

2 partes,

τητα. ἐπειδὴ δὲ Ἡρόφιλος εἰκάζει αὐτὸν ἀμφιβλήστρῳ ἀνεσπασμένῳ, ἔνιοι καὶ ἀμφιβληστροειδῆ καλοῦσιν, ἀπὸ τοῦ ὑγροῦ αὐτὸν ἄλλοι καὶ ὑαλοειδῆ. ὁ δὲ τέταρτος περιέχει μὲν τὸ κρυσταλλοειδὲς ὑγρὸν, ἀνώνυμος δὲ ὢν ἐξ ἀρχῆς, ὕστερον φακοειδὴς μὲν διὰ τὸ σχῆμα, κρυσταλλοειδὴς δὲ διὰ τὸ ὑγρὸν ὠνομάσθη.

Τὸν δὲ πρῶτον τοῦ τραχήλου σφόνδυλον, Ἱπποκράτης ὀδόντα δοκεῖ μοι καλεῖν· τὸ δὲ ὑπὸ ταῖς ἀντιάσιν ὀστοῦν, τὸ περιειληφὸς τὴν κεφαλὴν τοῦ βρόγχου, οἱ μὲν ὑψηλοειδὲς διὰ τὸ σχῆμα ὀνομάζουσιν, ὅτι ἔοικεν τῷ Υ γράμματι· Ἡρόφιλος δὲ παραστάτην καλεῖ, ὅτι παρέστηκε ταῖς ἀντιάσιν. ἡ δὲ τοῦ δευτέρου σφονδύλου εἰς τὸ ἄνω καὶ ἔμπροσθεν ἀπόφυσις, πυρηνοειδὴς καλεῖται. δι' οὗ δὲ τὰ σιτία καὶ τὰ ποτὰ εἰς τὴν κοιλίαν κάτεισι, στόμαχος, καὶ οἰσοφάγος καὶ τὰ νεῦρα τὰ ἑκατέρωθεν αὐτοῦ, τόνοι· καὶ τὰ ἄλλα αἰσθητικὰ καὶ ἰνώδη, τόνοι ὡσαύτως. τῆς δὲ τραχείας ἀρτηρίας καλεῖται βρόγχος· αἱ δὲ εἰς τὸ πλέγμα ἀποφύσεις, βρόγχια, καὶ σήραγγες καὶ ἀορταί.

Η δὲ ἀρχὴ τοῦ θερμοῦ, καὶ τοῦ ζῆν, καὶ τοῦ σφύζειν, καρδία. καὶ ταύτης τὸ μὲν ἄνω κεφαλὴ, τὸ δὲ ἄκρον καὶ ὀξὺ πυθμὴν, τὰ δὲ κοιλώματα κοιλίαι· ἡ μὲν παχυτέρα καὶ ἐν ἀριστερᾷ, ἀρτηριώδης· ἡ δὲ λεπτοτέρα, καὶ ἐν δεξιᾷ φλεβώδης· αὕτη δὲ καὶ εὐρυκλειοτέρα τῆς ἑτέρας· τὰ δὲ ἑκατέρωθεν τῆς κεφαλῆς ὥσπερ πτερύγια κοῖλα, καὶ μαλακὰ, καὶ κινητὰ, ἐν ᾧ πᾶσα σφύζει ἡ καρδία, ὦτα καρδίας. ὁ δὲ περὶ τὴν καρδίαν χιτὼν περικάρδιος, καὶ τὰ ὑπὸ τῶν ὑμένων, διαπεφραγμένα τοῦ θώρακος, καὶ οἱ ὑπὸ

ταῖς πλευραῖς ὑμένες ὑπεζωκότες, καὶ ὁ διαχωρίζων τὰ ἐν τῷ στήθει σπλάγχνα τῶν κάτω, διάφραγμα καὶ φρένες.

Ἐκ δὲ τοῦ γένους τῶν ἀδένων· πολλαὶ δὲ εἰσιν· αἱ μὲν πρὸς τῷ τραχήλῳ, αἱ δὲ ὑπὸ ταῖς μασχάλαις, αἱ δὲ ἐν τοῖς βουβῶσιν, αἱ δὲ ἐν τῷ μεσαραίῳ, σάρκες τινὲς ἡσυχῇ ὑποπίμελοι, καὶ ψαθυραί. ἐκ τούτων τῶν ἀδένων καὶ ὁ καλούμενος θυμός ἐστι, πεφυκὼς μὲν κατὰ τὴν κεφαλὴν τῆς καρδίας, ἐπιβάλλων δὲ τῷ τε ἑβδόμῳ τοῦ τραχήλου σφονδύλῳ, καὶ τοῦ βρόγχου τῷ πρὸς πνεύμονι πέρατι, οὐκ ἐν πᾶσιν ἑωραμένος.

Ὑπὸ δὲ τῷ διαφράγματι, γαστὴρ, τὸ δ' αὐτὸ καὶ ἄνω κοιλία ἡ πρώτη· εἶτα ἡ πρώτη τοῦ ἐντέρου ἔκφυσις, πυλωρός· εἶτα νῆστις· ἔντερον τροφῆς διὰ παντὸς κενὸν, ἀφ' οὗ καὶ νῆστις ὠνόμασται· ζυνεχὲς δὲ τούτῳ τὸ λεπτὸν ἔντερον· ἐκ δὲ τοῦ λεπτοῦ δικρόα ἔκφυσις, καλεῖται δὲ τὸ μὲν τυφλὸν, ὅτι ἀληθῶς τυφλόν ἐστι· τὸ δὲ κῶλον, καὶ κάτω κοιλία, ἣν καὶ νειαίρην Ὅμηρος καλεῖ. ἔστι δὲ ὁ σύνδεσμος τῶν ἐντέρων πᾶς μεσεντέριον καὶ μεσάραιον· ἀραιὰν δὲ τὴν γαστέρα, καὶ τὸ σύμπαν ἔντερον πάλαι ποτὲ ὠνόμαζον, ἀφ' οὗ ἐμμεμένηκεν οὕτως ἔτι καὶ νῦν τὸ μεσάραιον καλεῖν. ἐπὶ δὲ τῷ κώλῳ τὸ ἀπευθυσμένον πρὸς τὴν ἕδραν καὶ τὸν ἀρχὸν·

partes, interſepientes appellantur: quæ coſtas interius veſtiunt, ſuccingentes. Membrana, quæ pectoris viſcera ab inferioribus disjungit, tranſverſum ſeptum, & phrenes.

Ex glandulōſarum carnium genere, *quas adenas Græci vocant*, (multæ autem ſunt,) aliquæ in collo, nonnullæ ſub alis, quædam in inguinibus, aliæ in meſaræo *vocato reperiuntur*. Carnes quædam leniter ſubpingues ac fragiles ſunt: inter has & vocatus thymus numeratur: qui in regione capitis cordis locatus eſt, ſeptimæ colli vertebræ inſidens, aſperæque arteriæ extremo, qua cum pulmone committitur, adhæreſcens: non in omnibus tamen inventus eſt.

Sub tranſverſo ſepto venter eſt: cujus ſumma pars, primáque ventriculi nomen habet: deinde primus inteſtini exortus *hoſtiarius Latinè, ſeu janitor, Græcè* pyloros eſt: poſtea jejunum inteſtinum ſemper alimento privatum: unde ipſi quoque vocabulum fuit: iſti continuum gracile inteſtinum eſt. Ex gracili biceps prodit exortus: vocatur autem altera ejus pars cœcum inteſtinum, quoniam revera cœcum eſt: altera colon *Græcè*, & venter inferior, *& laxum inteſtinum à Latinis*: id Homerus & niæram appellat. Eſt autem totum inteſtinorum vinculum ac firmamentum, quod meſenterion, ac meſaræon *Græci* vocant. Aræam verò & ventrem, & omne inteſtinum vetuſtiſſimi *Græci* appellabant, ex quo ad hæc uſque tempora hoc nomen meſaræon derivatum eſt, *Latini lactes appellaſſe videntur*. Poſt grande inteſtinum colon appellatum rectum eſt juxta ſedem ac prin-

cipem. Quod ex orbiculato ventriculi fundo egerminat, ipſúmque & aliquam cæterorum inteſtinorum partem velat, epiploon *Græci, quaſi ſupernavigans, omentum Latini vocant.* A renibus exoriens membrana, omnibúſque prætenta inteſtinis peritonæos eſt. At propè inteſtini primum exortum poſita caro præpinguis, glanduliſque interſtincta, pancreas *vocata eſt.*

A dextra ventriculi jecur eſt. Jecoris autem pars tranſverſum ſeptum, peritonæúmque attingens convexa, quæ infra ventriculo inhæreſcit, cava dicitur. Sub maxima ejus fibra bilis vaſculum ſitum eſt, cujus media & anguſta particula cervix eſt, infima fundum. Jecoris porta vena eſt, per quam alimentum illabitur. Quæ in ſacrificiis autem aruſpices portas, menſam, gladium, & unguem appellant, in homine quoque, ſed obſcura atque incerta reperiuntur, ad nullúmque medicinæ profectum neceſſariò nominantur.

Ventriculo à ſiniſtra lienis incumbit, cujus craſſiſſima, ſummáque pars caput eſt: propè ultimas autem coſtas renes duo: ex quibus duo urinæ ductus ureteres *Græcè appellati* veſicam intrantes prodeunt. Veſica verò conceptaculum eſt, in quod urina è renibus per ureteres delabitur: à veſica eſt cervix, ſedimentum, tramis, & reliqua commemorata ſuperius. At ſeminaria vaſcula quatuor ſunt, duo varicoſa, duo glanduloſa: quæ genitales etiam venæ vocatæ ſunt: varicoſorum partes illæ quæ teſtibus adjacent, aſſeſſores dicuntur. Quidam verò omnia aſſeſſores appellari nihil laborant. Cæterùm an hæc eadem in fœminis perinde ut in maribus,

χόν· τὸ δὲ ἐκπεφυκὸς μὲν ἐκ τοῦ περιφεροῦς τῆς γαστρὸς, καλύπτον δὲ αὐτήν τε καὶ μέρος τι τοῦ ἄλλου ἐντέρου, ἐπίπλοον, καὶ ὁ ἀπὸ τῶν νεφρῶν περὶ πάντα τὰ ἔντερα χιτὼν τείνων, περιτόναιον· ἡ δὲ παρὰ τὴν πρώτην τοῦ ἐντέρου ἔκφυσιν κειμένη σὰρξ διαπίμελος καὶ ἀδενώδης, πάγκρεας.

Ἐκ δὲ τῶν δεξιῶν τῆς κοιλίας, ἧπαρ· τοῦ δὲ ἥπατος, τὰ μὲν τῶν φρενῶν καὶ περιτοναίου ψαύοντα, κυρτά· τὰ δὲ κάτωθεν καὶ τῆς γαστρὸς ψαύοντα, σιμά· καὶ ἐπὶ τοῦ μεγίστου λοβοῦ χολῆς ἀγγεῖον. τούτου δὲ τὸ μέσον στενὸν αὐχήν, τὸ δὲ κάτω πυθμήν· πύλη δὲ ἥπατος ἡ φλὲψ, δι' ἧς ἡ τροφὴ εἰσέρχεται. ἃ δὲ ἐν ἱεροσκοπίᾳ, πύλας, καὶ τράπεζαν καὶ μάχαιραν, καὶ ὄνυχα καλοῦσιν, ἔστι μὲν καὶ ἐν ἀνθρώπῳ, ἀσαφῆ δὲ καὶ οὐκ εὔδηλα, καὶ εἰς οὐδὲν ἰατρικὸν ἀναγκαίως ὀνομασθέντα.

Ἐκ δὲ τῶν ἀριστερῶν τῆς κοιλίας ὁ σπλήν· καὶ τούτου τὸ παχὺ καὶ ἀνωτάτω, κεφαλή· πρὸς δὲ ταῖς ἐσχάταις πλευραῖς νεφροὶ δύο, καὶ ἀπὸ τούτων οὐρητῆρες δύο, οἵ τινες εἰσβάλλουσιν εἰς τὴν κύστιν. ἔστι δὲ ἡ κύστις, εἰς ἣν τὸ οὖρον τὸ ἐκ τῶν νεφρῶν καὶ τῶν οὐρητήρων καταῤῥεῖ, καὶ ἀπὸ τῆς κύστεως ὁ τράχηλος, καὶ τὸ ὑπόστημα, καὶ ἡ τράμις, καὶ τὰ ἄλλα τὰ διῃρημένα. τὰ δὲ σπερματικὰ ἀγγεῖα, ἔστι μὲν τέσσαρα, δύο μὲν κιρσοειδῆ, δύο δὲ ἀδενοειδῆ, ἐκαλοῦντο δὲ καὶ γόνιμοι φλέβες· καὶ τῶν κιρσοειδῶν, τὰ πρὸς τοὺς διδύμους, παραστάται. ἐνίοις δὲ καὶ πάντα παραστάτας καλεῖν διαφέρει οὐδέν.

οὐδέν. σκεπτέον δὲ καὶ εἰ τοῖς θήλεσι τὰ αὐτὰ πεποίηται, ὥσπερ καὶ τοῖς ἄῤῥεσιν. Ἡροφίλῳ μὲν γὰρ οὐ δοκεῖ τὸ θῆλυ κιρσοειδεῖς ἔχειν παραστάτας· ἐν δὲ προβάτου ὑστέρᾳ εἴδομεν ἐκ τῶν διδύμων πεφυκότα τὰ ἀγγεῖα κεκιρσωμένα ἑκατέρωθεν. συνετέτρητο δὲ ταῦτα εἰς τὸ κοίλωμα τῆς ὑστέρας, ὑφ' ὧν ὑπόμυξον ὑγρὸν πιεζόντων ἀπεκρίνετο· καὶ ἦν πολλὴ δόκησις σπερματικὰ ταῦτα εἶναι, καὶ τοῦ γένους τῶν κιρσοειδῶν. τοῦτο μὲν δὴ οἷόν ἐστιν, αἱ ἀνατομαὶ δίχα δείξουσιν.

Οἱ δὲ μύες οἱ ἔνδοθεν τῆς ὀσφύος, ψόαι, εἴπερ καὶ μόνοι τῆς ἄλλης ῥάχεως τῇ ὀσφύϊ παραπεφύκασιν· ἄλλοι δὲ νευρομήτρας καλοῦσιν· ἄλλοι δὲ ἀλώπεκας. τοῦτο ἄρα ἦν καὶ τὸ ἐν ταῖς κνιδίαις γνώμαις γεγραμμένον. ἐὰν δὲ νεφρῖτις ἔχῃ, σημεῖα τάδε, ἐὰν οὐρῇ παχὺ, πυῶδες, καὶ ὀδύναι ἔχουσιν, ὥστε τὴν ὀσφὺν καὶ τοὺς κενεῶνας, καὶ τοὺς βουβῶνας, καὶ τὸ ἐπείσιον, τότε δὲ καὶ ἐς τὰς ἀλώπεκας· ᾧ καὶ δῆλον ὅτι χρήσιμον τὰ τοιαῦτα εἰδέναι εἰς διάγνωσιν τῶν οὕτως ὠνομασμένων. Κλείταρχος δὲ τοὺς ἔξω κατὰ τῆς ῥάχεως μύας, ψόας, καὶ νευρομήτρας, καὶ ἀλώπεκάς φησι καλεῖσθαι οὐκ ὀρθῶς.

Τῆς δὲ γυναικὸς τὸ γεννητικὸν μόριον, μήτρα, καὶ ὑστέρα. Ἱπποκράτης δὲ καὶ δελφὺν, καὶ γονὴν καλεῖ. καὶ αἱ ἐπὶ τὰ ἄνω ἔνθεν καὶ ἔνθεν ἐκφύσεις, κεραίαι, καὶ πλεκτάναι, καὶ τὰ ἀνέχοντα αὐτὴν ἀγγεῖα ἐκτός· καὶ τὸ ἀμέσον καὶ ἀνωτάτω πυθμὴν, καὶ τὰ ἑκατέρωθεν ὦμοι, καὶ τὸ ἄκρον αὐχὴν καὶ τράχηλος· τραχήλου δὲ τὸ στόμα ὁ πρῶτος πόρος. Ἱπποκράτης δὲ

ribus, conſtituta ſunt, contemplandum eſt. Fœminas varicoſis aſſeſſoribus carere Herophilus planè exiſtimat : nos verò in pecudis utero è teſtibus enata vaſcula, atque utrinque varicis inſtar revoluta conſpeximus: hæc autem in uteri cavum perforata ſubibant : è quibus mucoſus quidam humor, ſiquis exprimeret, emanabat, magnáque erat ſpes, hos ſeminarios eſſe canales, & eorum generis, qui varicoſi nuncupantur : id autem ut ſe habeat, diſſectiones ſeorſum declarabunt.

Intra lumbos muſculi pſoæ *Græco vocabulo* nominantur : qui ſoli etiam in dorſo lumbis agnati ſunt. Iſtos aliqui uterales nervos, alii vulpes cognominant : atque in libro Cnidiarum ſententiarum nomen iſtud ſcriptum eſt. Si renum autem morbus vexat, notæ hæ ſunt, ſi lotium craſſum purulentúmque ſit, ſi dolor lumbos, ilia, inguina, ſm énque torqueat, tùm verò & vulpes malè habet. Unde jam conſtat, quanti iſta ſcire interſit : quò ea, quæ ſic cognominantur, agnoſcas. Clitharchus exteriores dorſi muſculos pſoas, uterales nervos, ac vulpes appellari falſo opinatur.

Genitale autem mulieris membrum *Græcè* metra & hyſtera, *Latinè uterus vulváque vocatur.* Hippocrates & delphyn & genituram dicit. Ejus ſurſum verſus utrinque proceſſus cornua & cirri ſunt ipſam exterius ſuſtinentia vaſa : medium atque ſupremum fundum eſt : quæ utrinque ſunt, humeri : ejus extremitas cervix, atque collum : colli os primus meatus : Hippocrates *Græcè* amphidion à

ro-

rotundi ferri, quò præfiguntur aratra, ſimilitudine vocat : deinde cavum, quod ſequitur, *multis appellationibus exprimitur:* muliebris enim ſinus dicitur, *muliebres loci, uterus, ac vulva.* Sed totum genitale cum exterioribus pudendum, *obſcœniorique vocabulo cunnus.*

At circa teſtes tunicæ ſunt *Latinis carentes nominibus à Græcis autem* erythroides una, dartos altera nominatur: nervus quoque cum arteria concavus ad teſtem pervenit, *qui ſuſpenſor à noſtris dici poteſt:* cremaſtera *Græci* nuncupant: venulæ pariter ad teſtes, unde nutriuntur : hæque teſtium altrices nominantur.

Aliarum quoque venarum nomina, (ut ſemel dicam,) hæc ſunt: ſi gracilem tunicam habent, ſanguinéque complentur, venæ ſunt : omnes verò magnæ venæ cavæ appellantur : poſtea inter medicos uſus obtinuit, ut ea vena quæ à jecore in renes propagines mittit, cava diceretur : in ea praxagoras initium eſſe febrium affirmavit : ſolámque eam cavam ipſe nominavit. Cæterùm alii & eam quæ ſurſum in cor per tranſverſum diſcrimen evadit, alii & hanc, & priorem unico vocabulo hepatitin, (*Latine jecorariam dixeris,*) vocitant : à liene exeuntem ſplenitin, *id eſt lienariam.* Cæterùm non quemadmodum in jecore, ita & in liene ſurſum verſus, deorſúmque in ſiniſtra parte diſcurrens ulla vena reperitur : qui verò id aſſerunt, impudenter mentiuntur : quandoquidem venulæ in lienem pertinentes & graciles ſunt, & ibidem in liene finiuntur. Philiſtio Italus medicus pro Dorienſium eam partem incolentium more, quaſdam venas

καὶ ἀμφίδιον ὀνομάζει ἀπὸ τῶν κυκλοτέρων σιδηρίων τῶν πρὸς τοῖς ἀρότροις· εἶτα τὸ κοίλωμα τὸ ἐφεξῆς, γυναικεῖος κόλπος, καὶ αἰδοῖον τὸ σύμπαν σὺν τοῖς ἐπιφανέσι.

Περὶ δὲ τοὺς διδύμους εἰσὶ χιτῶνες ἐρυθροειδεῖς, καὶ δαρτοί· καὶ νεῦρον εἰς τὸν δίδυμον καθῆκον κοῖλον, καὶ ἀρτηρία, ὃ καὶ κρεμαστὴρ καλεῖται, καὶ φλεβία δι᾽ ὧν τρέφονται οἱ δίδυμοι, καὶ ταῦτα τρέφοντα τὸν δίδυμον καλεῖται.

Τῶν δὲ ἄλλων φλεβῶν τὰ ὀνόματα, τὸ μὲν κατὰ παντὸς εἰπεῖν, τὰ λεπτὰ τῷ χιτῶνι ἀγγεῖα καὶ ἔναιμα φλέβες καλοῦνται, καὶ πᾶσαι αἱ μεγάλαι κοῖλαι· ὕστερον δὲ δι᾽ ἔθους ἔσχον οἱ ἰατροὶ κοίλην ὀνομάζειν, τήν τε ἀπὸ ἥπατος ἐπὶ νεφροὺς πέμπουσαν τὰς ἀποφύσεις, ἔνθα φησὶν ὁ Πραξαγόρας τὴν πρώτην ἀρχὴν εἶναι τῶν πυρετῶν, καὶ οὗτος κοίλην μόνην ταύτην καλεῖ· ἄλλοι δὲ καὶ τὴν ἄνω διὰ τῶν φρενῶν ἐπὶ καρδίαν τείνουσαν· οἱ δὲ καὶ ταύτην τε καὶ τὴν προτέραν ἑνὶ ὀνόματι ἡπατῖτιν ὠνόμασαν· καὶ τὴν ἀπὸ τοῦ σπληνὸς, σπληνῖτιν. ἀλλ᾽ οὐκ ἔστιν ἀπὸ τοῦ σπληνὸς, ὥσπερ ἀπὸ τοῦ ἥπατος ἄνω καὶ κάτω διὰ τῶν ἀριστερῶν πεφυκυῖα φλὲψ, ἀλλὰ τοῦτο ψευδόμενοι λέγουσι. τὰ δὲ ἐπὶ τὸν σπλῆνα τείνοντα φλεβία, λεπτά τε ἐστὶ, καὶ αὐτοῦ πρὸς τὸν σπλῆνα περαίνεται. Φιλιστίων δὲ ὁ ἀπὸ Ἰταλίας, κατὰ τὸ ἐπιχώριον τοῖς ἐκεῖ δωριεῦσιν, ἀετοὺς τινὰς ὀνομά-

ζει φλέβας, τὰς διὰ κροτάφων ἐπὶ κεφαλὴν τεινούσας. Ἱπποκράτης δὲ τὰς ἀπὸ καρδίας εὐθὺς δρακοντίδας ὀνομάζει· Ἡρόφιλος δὲ ἀρτηριώδη φλέβα, τὴν παχυτάτην καὶ μεγίστην τὴν ἀπὸ τῆς καρδίας καλεῖ φερομένην ἐπὶ τὸν πνεύμονα. ἔχει γὰρ ὑπεναντίως τῷ πνεύμονι πρὸς τὰ ἄλλα· αἱ μὲν φλέβες ἐνταῦθα ἐρρωμέναι καὶ ἐγγυτάτω τὴν φύσιν ἀρτηριῶν· αἱ δὲ ἀρτηρίαι ἀσθενεῖς, καὶ ἐγγυτάτω τὴν φύσιν φλεβῶν. ἐπανθισμοὺς δὲ πρῶτον μὲν οὖν οἶδα ὠνόμασε Διονύσιος ὁ τοῦ Ὀξυμάχου, καὶ φησὶν ὁ Εὔδημος λέγεσθαι τὴν φλέβα ἐπανθισμόν· ἐμοὶ δὲ δοκεῖ Διονύσιος ἐοικὸς μὲν τῇ φλεβὶ τὸν ἐπανθισμὸν ὀνομάζειν. οὐ μὴν αὐτὸ φλέβα, ἀλλά τι καὶ ἄλλο ἐπίκτητον ἀγγεῖον αἵματος. δηλοῖ πολλάκις ἐν τῷ αὐτῷ φλέβα, καὶ ἐπανθισμὸν, καὶ ἀρτηρίαν ὀνομάζων. οὐ γὰρ ἂν εἴπερ ταυτὸν ἦν φλεβὶ, οὕτως ὠνόμαζεν. εἰ γὰρ μηδὲν ἐστιν ἕτερον παρὰ τὴν φλέβα ἐπανθισμός· ἀλλ᾽ ἐκεῖνός γε ᾤετο, καὶ οὕτως ἐκάλει.

Τὰς δὲ ἀρτηρίας τὸ ἀρχαιότατον φλέβας ὠνόμαζον· καὶ σφύζειν ὁπότε λέγοιεν τὰς φλέβας, ἀρτηρίας ἐβούλοντο καλεῖν. ἀρτηριῶν γὰρ τὸ σφύζειν ἔργον. ἔλεγον δὲ καὶ ἀορτὰς καὶ πνευματικὰ ἀγγεῖα, καὶ σήραγγας, καὶ κενώματα, καὶ νεῦρα. ἀορτὴν δὲ Ἀριστοτέλης ἐξαιρέτως τὴν διὰ τῆς ῥάχεως ἀρτηρίαν ὀνομάζει, ἥ τις μεγίστη παρατέταται τῇ ῥάχει. ταύτην δὲ παχεῖαν Πραξαγόρας εἴθισται καλεῖν. καρωτίδας δὲ τὰς διὰ τοῦ τραχήλου κοίλας ὠνόμαζον πάλαι, ὅτι πιεζομένων καρώδεις καὶ ἄφωνοι ἐγίνοντο. ὤφθη δὲ νῦν τὸ

πά-

venas, quæ per tempora in caput aſcendunt, aquilas vocat: venas à corde illico naſcentes, dracontida Hippocrates nominat. Herophilus venam craſſiſſimam grandiſſimámque ex corde pulmones petentem arterialem appellavit: in pulmonibus enim contra atque in aliis res habet: nam venæ in his validæ ſunt, proximéque ad arteriarum naturam accedunt: arteriæ contra imbecillæ, venarúmque naturam ſapiunt. Omnium autem quos noverim, primus Dionyſius Oxymachi effloreſcentiam, *Græcè* epanthiſmon nomen novum adinvenit: aitque Eudemus effloreſcentiam venam appellari. Sed mihi quidem Dionyſius rem venæ ſimilem effloreſcentiam, neque idem venam atque effloreſcentiam, ſed quoddam aliud adventitium ſanguinis receptaculum vocare viſus eſt: idque ipſe ita eſſe teſtatus eſt, eodem loco ſæpius venam, effloreſcentiam, arteriámque inculcans, ac repetens: neque enim, ſi rem eandem venam effloreſcentiámque putaret, ita unquam locutus eſſet: nam etſi nihil aliud effloreſcentia, quàm vena eſt, nihilominus ipſe aliter ſenſit, atque appellavit.

Arteriis præterea vetuſtiſſimi *Græci* venæ nomen impoſuerunt, cúmque venas micare dicebant, arterias intelligebant: arteriarum enim micare, ſeu palpitare munus eſt. Eas etiam aortas, & ſpirabilia vaſa, & cavernas, & inanitates & nervos appellarunt. Aortam verò eam præcipuè Ariſtoteles vocat, quæ per dorſum omnium maxima fertur: hanc craſſam Praxagoras appellare conſuevit. Cavas autem per collum ſubeuntes carotidas, id eſt ſomniferas antiqui nominarunt: quoniam compreſſæ

hominem ſopore gravabant, vocémque adimebant. Cæterùm noſtro ſæculo non arteriarum, ſed nervorum ſenſoriorum propè jacentium id vitium eſſe compertum eſt: quare ſi nomen permutare volueris, nihil peccati admiſeris.

Nervi à cerebro, ſpinæque medulla prodeuntes activi, ſenſorii, electivi, atque toni: qui circa artus ſunt, copulativi dicuntur: craſſæ autem ex occipitio propagines, quæque ad calcem è muſculo naſcentes feruntur, tendonis vocabulum habent. Cartilagines ſunt, in quas oſſa degenerant, nervis duriores. Membranæ tenuia ſunt velamenta: tunicæ, craſſiora. Adeps, pinguiſſima eſt alimenti concretio. Caro autem in viſceribus illud eſt, quod inter vaſcula concretum reperitur, ſub tegmen quoddam, ac veluti receptaculorum texturæ fartum; quò inania ejus ſpatia compleantur. In muſculis caro pars fibroſa ac firma eſt, & quæ in ulceribus, oſſiúmque cavis recens concreſcit. Medulla verò in dorſo dorſalis, in vertebris ſpinalis; has etiam ambiens membranula ſpinalis dicitur. Medulla intra calvam contenta cerebrum eſt: ſed in aliis oſſibus oſſalis vocatur: ſive in magnis inſit cavis, ut in femore atque humero, ſive *in anguſtis foraminibus, quas* ſerangas, *id eſt cavernas, vocant*, ut in coſtis ac jugulis.

Sanguis calidiſſimus eſt, flaviſſimúſque ſuccus. Pituita album craſſum, ac ſubſalſum excrementum eſt: quod cum reſiccatur, nigreſcit. Bilis flava amarum eſt, ac flavum excrementum: porracea acris eſt, atque ſubviridis: æruginoſa verò eſt valdè mera, atque ſyncera. Atra bilis autem ſanguinis craſſa-

πάθημα οὐ τῶν ἀρτηριῶν, ἀλλὰ νεύρων αἰσθητικῶν πεφυκότων πλησίον· ὥστε εἰ ἐθέλοις μεταθεῖναι τοὔνομα, οὐκ ἂν ἁμαρτάνοις.

Νεῦρα μὲν, τὰ μὲν ἀπ᾽ ἐγκεφάλου καὶ νωτιαίου, πρακτικὰ καὶ αἰσθητικὰ, καὶ προαιρετικὰ, καὶ τόνοι· τὰ δὲ περὶ τὰ ἄρθρα συνδετικά· αἱ δὲ παχεῖαι ἐκ τοῦ ἰνίου ἐκφύσεις, καὶ τὰ εἰς τὴν πτέρναν ἐκ τοῦ μυὸς ἐκφυόμενα, τένοντες· χόνδροι δὲ τὰ ἐπὶ τοῖς πέρασι τῶν ὀστῶν· σκληρότεροι δὲ τῶν νεύρων. ὑμένες δὲ τὰ λεπτὰ καλύμματα, χιτῶνες δὲ τὰ παχύτερα τῶν καλυμμάτων. πιμελὴ δὲ τὸ λιπαρώτατον πῆγμα τῆς τροφῆς. σὰρξ δὲ τὸ ἐν τοῖς σπλάγχνοις μεταξὺ τῶν ἀγγείων πεπηγὸς, ἀλλὰ ὑφή τις καὶ πλήρωμα τοῦ πλέγματος τῶν ἀγγείων, ὡς μὴ τὰ κενὰ μεταξὺ ᾖ· καὶ τῶν μυῶν ἰνώδης, καὶ στερεὰ καὶ ἡ ἐπὶ τοῖς ἕλκεσι καὶ τοῖς κοιλώμασι τῶν ὀστῶν ἄρτι πηγνυμένη. μυελὸς δὲ ὁ μὲν ἐν τῇ ῥάχει, ῥαχίτης· ὁ δὲ διὰ νώτου, νωτιαῖος, καὶ ἡ περὶ αὐτὸν μῆνιγξ, νωτιαία· ὁ δὲ ἐν τῷ κρανίῳ, ἐγκέφαλος· ὁ δὲ ἐν τοῖς ἄλλοις ὀστέοις, ὀστίτης, ἐάν τε ἐν μεγάλοις ἐνῇ κοιλώμασιν ὥσπερ ἐν μηρῷ, καὶ βραχίονι· ἐάν τε ἐν σήραγξιν, ὥσπερ ἐν πλευραῖς καὶ κλεισίν.

Αἷμα δὲ ὁ θερμότατος καὶ ξανθότατος χυμός· φλέγμα δὲ τὸ λευκὸν καὶ παχὺ, καὶ ἡσυχῇ ἁλυκὸν περίσσωμα. τοῦτο δὲ ὅταν αὐανθῇ, μέλαν φλέγμα. χολὴ ξανθὴ μὲν, τὸ πικρὸν καὶ ξανθὸν περίσσωμα· πρασοειδὴς δὲ, ἡ ὀξεῖα καὶ ὑπόχλωρος· ἰώδης δὲ, ἡ ἰσχυρῶς κατακορὴς καὶ ἄκρατος·

μέλαινα

μέλαινα δὲ, ἡ ὑποστάθμη τοῦ αἵματος. ἄλλοι δὲ τὸ μέλαν
αἷμα, μέλαιναν καλοῦσι. τὰ δὲ ὑπόλοιπα περιττώματα,
σίελος μὲν ἡ τοῦ στόματος ὑγρότης· μύξα δὲ τὸ ἁλμυρὸν
περίττωμα τοῦ ἐγκεφάλου. ἱδρὼς δὲ ἡ κατὰ πᾶν τὸ σῶμα
ὑγρότης. οὖρον δὲ τὸ ἐν κύστει νιτρῶδες ὑγρὸν κατιόν· φῦσα
δὲ τὸ ἐν τοῖς ἐντέροις περιττὸν πνεῦμα· κυψελὶς δὲ ὁ ἐν
τοῖς ὠσὶ ῥύπος· καταμήνιον δὲ αἱ ἐν ταῖς θήλεσιν ἐπὶ μη-
νὶ αἱματώδεις ἐκκρίσεις. ὅταν δὲ λευκὰ ἐπιφέρηται, κατα-
μήνιον οὐ καλεῖται, ἀλλὰ ῥοῦς· γάλα δὲ ἡ ἐν τοῖς μαστοῖς πέ-
ψις τῆς τροφῆς. σπέρμα δὲ καὶ θορὴ καὶ γόνος τὸ αὐτὸ, ἡ ἐν παρα-
στάταις γεννητικὴ πέψις ὁμοῦ πνεύματος καὶ τροφῆς. Πραξα-
γόρας δὲ ἴδιον τρόπον τοὺς χυμοὺς ὠνόμασε, γλυκὺν, καὶ ἰσό-
κρατον, καὶ ὑαλοειδῆ· τούτους μὲν κατὰ τὴν ἰδέαν τοῦ φλέγματος·
ἄλλους δὲ ὀξὺν καὶ νιτρώδη, καὶ ἁλυκὸν, καὶ πικρόν· τούτους δὲ ὡς
γευσομένῳ φαίνεται· ἄλλους δὲ, πρασοειδῆ μὲν τῇ χρόᾳ,
λεκιθώδη δὲ καὶ τῇ παχύτητι· ἄλλους δὲ, ξυστικὸν μὲν, ὅτι
ξύεσθαι παρασκευάζει· στάσιμον δὲ, ὅτι ἐν ταῖς φλεψὶν
ἐνέστηκε, καὶ οὐ διαδίδωσιν εἰς τὴν σάρκα, διὰ τὸ λεπτοὺς καὶ
φλεβώδεις εἶναι τοὺς στασίμους χυμούς. τὸν δὲ ὅλον χυμὸν
ὁ Πραξαγόρας πᾶν τὸ ὑγρὸν καλεῖ· ὁ δὲ Μνησίθεος, τοῦ-
τον μὲν χυλὸν, τὴν δὲ γευστικὴν δύναμιν, ἐάν τε ἐν ξηρῷ, ἐάν
τε ἐν ὑγρῷ ᾖ, χυμόν. θερμασίαν δὲ καὶ πνεῦμα Ζήνων τὸ
αὐτὸ εἶναί φησιν· οἱ δὲ ἰατροὶ διαιροῦσι, πνεῦμα μὲν τὸ
ἀνα-

craſſamentum eſt. Alii nigrum ſanguinem atram eſſe bilem aſſeverant, reliqua excrementa hujuſmodi ſunt: ſaliva quidem oris eſt humiditas. Mucus ſalſum eſt cerebri purgamentum. Sudor eſt per omne corpus effuſa humiditas. Urina eſt nitroſus humor in veſicam delabens. Flatus eſt in inteſtinis ſupervacuus ſpiritus. Cypſelis ſunt aurium ſordes, *quas cerumina, aut marmorata veteres Latini appellitabant.* Menſes in mulieribus ſunt menſtrua per vulvam ſanguinis excrementa: quæ cùm alba ſunt, non menſes ultra, ſed profluvium nominatur. Lac eſt in mammis alimenti concoctio. *Semen, Græcè* ſperma, thora, & gonos, *hoc eſt genitura* idem ſignificant: id verò eſt ſpiritus ſimul, atque alimenti genitalis in aſſeſſoribus concoctio. Praxagoras peculiari quodam modo ſuccos nominavit, dulcem, temperatum, & vitreum: hos à pituitæ ſpecie ſic vocavit: item acidum, nitroſum, ſalſum, & amarum: hos ita, ut guſtatus judicat, appellavit: alios præterea porraceum quidem ex colore, vitellinum verò ex craſſitudine: alios quoque abraſorios, quoniam abraſuram parant: alios ſtagnantes, quod in venis inhæreant, neque in carnem ſubeant, quia tenues, intra venaſque abſorpti quieſcunt: in ſumma, omne liquidum Praxagoras chymon appellat. At Mneſitheus, *quod liquidum eſt,* chylon, *id eſt ſuccum* nominat: ſed guſtatilem qualitatem, ſive in arido, ſive in liquido poſitam, chymon, *id eſt ſaporem* vocat. Calorem autem, atque ſpiritum Zeno idem eſſe cenſuit. Sed medici diſtinxerunt, ſpiritum, quem ſpirando trahimus, calorem autem ſpiritus eliſionem appellantes. Alii

Alii vitæ quoddam principium *calorem eſſe dixerunt.*

Fœtus membranis involvitur: quarum tenuem ac molliorem amnion vocat Empedocles, *agninam Latinè dicito.* Inde & ilithya, *quæ partui præeſt,* amnias mihi agnominari viſa eſt: non à Cretæ, *ut alii exiſtimant,* quodam portu. Nos hanc tunicam diſſecantes, humoris cujuſdam longè illo, qui in ſecundinis continetur, mundioris plenam invenimus: accuratéque æſtimantibus veluti quidam fœtus ſudor videbatur: per urinaculum verò humorem quendam in ſecundinas inſtar urinæ tranſfundi cognovimus. Sed amnius interior fœtui, ſecundinæ exterius vulvæ brevis atque venoſa tunica adhærebant: è ſecundinis umbilicus oritur ex duabus venis totidémque arteriis compoſitus, & ex quinto appellato urinaculo, brevi vaſculo, utrinque cavo, è veſicæ fundo in ſecundinas intrante.

Plurima in homine reperta hujuſmodi appellationibus inſignire oportet: quòd, ſi quid in his omiſſum fuerit, non ideò tamen plurima ob pauca quædam conniventibus oculis præterita aſpernari conveniet.

RUFFI

ἀναπνεόμενον· θερμὸν δὲ τὴν ἔκπεμψιν τοῦ πνεύματος· οἱ γὰρ ζωῆς ἀρχήν τινα.

Τὸ δὲ βρέφος περιέχεται χιτῶσι, τὸ μὲν λεπτὸν καὶ μαλακόν, ἄμνιον αὐτὸν Ἐμπεδοκλῆς καλεῖ· ἐντεῦθεν, μοι δοκεῖ, καὶ εἰλείθυια ἀμνιὰς ἐπωνόμασαι· καὶ μᾶλλον ἤπερ ἀπὸ τοῦ ἐν Κρήτῃ λιμένος. ἑωρῶμεν δὲ ἀνατέμνοντες τοῦτον τὸν χιτῶνα περιέχοντα ὑγρόν, πολὺ γὰρ καθαρώτερον τοῦ ἐν τῷ χορίῳ, καὶ λογιζομένοις μὲν ἐφαίνετο ὥσπερ ἱδρὼς εἶναι τοῦ βρέφους. τὸ δὲ διὰ τοῦ ουράχου ὥσπερ οὖρον εἰς τὸ χορίον ἐκδιδόναι· ἀλλ᾽ ὁ μὲν ἄμνιος ἔνδοθεν ἦν καὶ περὶ τῷ βρέφει· τὸ δὲ χορίον ἔξω καὶ περὶ τῇ ὑστέρᾳ βραχὺς καὶ φλεβώδης χιτών· ἐκ δὲ τοῦ χορίου ἐκπεφύκει ὁ ὀμφαλός, δύο φλέβες καὶ δύο ἀρτηρίαι, καὶ πέμπτος ὁ καλούμενος οὔραχος, ἀγγεῖον βραχὺ καὶ ἀμφίστομον ἀπὸ τοῦ πυθμένος τῆς κύστεως εἰς τὸ χορίον ἐμβάλλων.

Τὰ μὲν πλεῖστα τοῦ ἀνθρώπου οὕτω χρὴ καλεῖν· εἰ δέ τι ἐν τούτοις καὶ παραλέλειπται, οὐ μὴν δίκαιον τὰ πολλὰ ἀτιμάσαι, διὰ τινὰ ὀλίγα παροφθέντα.

ΤΟΥ ΑΥΤΟΥ

ΟΝΟΜΑΣΙΩΝ

ΤΩΝ

ΚΑΤΑ ΑΝΘΡΩΠΟΝ ΠΡΩΤΟΝ.

Εἴ τις τὴν κιθαριστικὴν μέλοι διδαχθήσεσθαι, ἀνάγκη πρὸ τῆς πάσης διδασκαλίας μαθεῖν τῶν τε χορδῶν θιγγάνειν ἐπιστημόνως, ἑκάστης τὲ τούτων τὸ ὄνομα λέγειν· ἔτι μὴν καὶ οἱ γραμματισταὶ πρὸ τῆς ἀναγνώσεως καὶ τῆς ἄλλης διδασκαλίας, καὶ τὴν τῶν στοιχίων ὀνομασίαν ὁμοίως προδιδάσκουσιν. ἀλλὰ μὴν καὶ ἐν τῇ γεωμετρίᾳ, τὶ ἐστὶ γραμμὴ, καὶ τὶ ἐπιφάνεια, καὶ ἐπίπεδον, καὶ σχῆμα τρίγωνον, καὶ κύκλος, καὶ τὰ ὅμοια· εἰδέναι γὰρ δεῖ ὅ, τι ἕκαστον αὐτῶν ἐστί τε καὶ ὀρθῶς ὀνομάζεται. καὶ ἐπὶ τῶν ἄλλων γὰρ τεχνῶν τὴν πρόγνωσιν καὶ ὀνομασίαν ὁμοίως προδιδάσκουσιν ἀναγκαιότατον οὖν τοῖς τὴν ἰατρικὴν τέχνην μανθάνουσι προδιδαχθῆναι τὴν στοιχείωσιν ὡς χρὴ καλεῖν ἕκαστον

EJUSDEM

DE

Corporis humani Partium

APPELLATIONIBUS

Alter LIBER I.

SI quis fidibus canendi artem doceri cupiat, ante omnia fides peritè tractare, ſinguláſque propriis nominibus appellare diſcat, neceſſe eſt. Grammatiſtæ ante legendi, cæteræque doctrinæ ſcientiam, elementorum nomina pueros prædocent: necnon in geometria, quid linea ſit, quid ſuperficies, quid planum, quid figura triangula, quid circulus, id genúſque alia, quoque ritè nomine appellentur, prædiſcere opus eſt: in aliis itidem artibus prænotiones vocabulorum ſimiliter edocent. Medicam itaque artem capeſcere optantibus elementa prius tradere perquàm neceſſarium eſſe duxi: ut quæque videlicet corporis pars rectè nominanda ſit:

quandoquidem diviniſſimus Hippocrates in libro, qui inſcribitur de Locis in homine, ita loquitur: Corporis autem natura ſermonis in medicina principium eſt. Nos igitur etiam à ſimplicioribus exteriúſque aſpectui ſubjectis exorſi, eorum prænotionem appellationéſque trademus.

Maximæ corporis partes, caput, collum, thorax, manus, cruráque ſunt. Thoracem non ſolum à jugulis ad præcordia uſque, ſed totum à jugulis uſque ad genitalia vocamus.

Caput, quod capillis intectum eſt, ſimul etiam cum facie & alia ſic appellantes comprehendimus: prior capillata pars ſynciput dicitur: in quo & ſutura eſt, quoniam ipſi coronas circumponimus, corona vocata, poſterior occiput: partes ab utraque ſyncipitis parte tempora: pars media, quâ maximè convolvuntur capilli, vertex: ſub ſyncipite frons ſita eſt: in temporibus pilorum exortus iuli *Græco vocabulo, Latinè lanugo :* poſteriores occipitis pili *à Græcis* chetæ *à noſtris crines dici poſſunt :* ultimam frontis rugam epiſcenion *Græci dicunt*, quod ſupertentorium noſtris ſonat: partes frontis pilis hirtæ ſupercilia ſunt: horum media intercapedo meſophryon *apud Græcos eſt, Romanis glabella:* inde naſus porrigitur.

Naſi extremum globulus dicitur: quod naſum in duas cavernulas diſtinguit, interſeptum: à globulo carnoſum quoddam in labium deſcendens, columna eſt: naſi cava ab utroque interſepti latere, per quæ olfactus præſtatur, nares vocantur:

naſi

μόριον τοῦ σώματος. καὶ γὰρ ὁ θειότατος Ἱπποκράτης ἐν τῷ περὶ τόπων τῶν κατ' ἄνθρωπον, φησὶν οὕτως, φύσις δὲ σώματος ἀρχὴ τοῦ ἐν ἰητρικῇ λόγου. καὶ ἡμεῖς οὖν ἀρξάμενοι ἀπὸ τῶν ἁπλουστέρων, καὶ ἔξωθεν μερῶν, τὴν πρόγνωσιν καὶ ὀνομασίαν ὁμοίως ποιησόμεθα.

Ἔστι δὲ τὰ μέγιστα μέρη τοῦ σώματος κεφαλὴ, καὶ αὐχὴν, καὶ θώραξ, καὶ χεῖρες, καὶ σκέλη. θώρακα γὰρ οὐ μόνον τὸ ἀπὸ τῶν κλειδῶν μέχρι τῶν ὑποχονδρίων καλοῦμεν, ἀλλὰ καὶ τὸ σύμπαν ἀπὸ τῶν κλειδῶν μέχρι τῶν αἰδοίων.

Κεφαλὴν δὲ καὶ τὸ τετριχωμένον καλοῦμεν, καὶ σὺν τῷ προσώπῳ· καὶ τὰ ἄλλα ὁμοίως συμπεριλαμβάνομεν ὀνομάζοντες· τοῦ οὖν τετριχωμένου, τὸ μὲν ἔμπροσθεν καλεῖται βρέγμα, ἐφ' οὗ τέτακται ἡ καλουμένη στεφάνη, περὶ ἣν τοὺς στεφάνους τίθεμεν· ἰνίον τὸ ὀπίσω. τὰ ἑκατέρωθεν τοῦ βρέγματος, κρόταφοι καὶ κόρσαι· τὸ ἐν μέσῳ καθ' ὃ δὴ μάλιστα εἱλοῦνται αἱ τρίχες, κορυφή. ὑπὸ δὲ τῷ βρέγματι κεῖται τὸ μέτωπον. αἱ δὲ παρὰ τοὺς κροτάφους τῶν τριχῶν ἐκφύσεις, ἴουλοι· χαῖται δὲ καὶ αἱ ὄπισθεν κατὰ τὸ ἰνίον. ἡ δὲ τοῦ μετώπου ἐσχάτη ῥυτὶς, ἐπισκύνιον. τὰ δὲ τετριχωμένα τοῦ μετώπου ὀφρύες. τούτων ἡ μεσότης, μεσόφρυον, ἀφ' οὗ ἡ ῥὶς τέταται, ἧς τὸ ἄκρον σφαιρίον καλεῖται. τὸ δὲ ὑποκείμενον, διάφραγμα· ἀπὸ δὲ τοῦ σφαιρίου τὸ καθῆκον σαρκῶδες ἐπὶ τὸ χεῖλος, κίων. μυξωτῆρες τὰ κοιλώματα ἐξ ἑκατέρου μέρους δι' ὧν γίνεται ὄσφρησις· πτερύγια ῥινὸς λέγεται τὰ

τὰς

τὰς κοιλότητας ταύτας περιέχον· τὸ δὲ ὑπὸ τῇ κίονι κοῖλον τὸ ἐπάνω χείλους, φίλτρον καλεῖται. πᾶν δὲ τὸ μετὰ τὴν ῥῖνα τοῦ ἄνω χείλους, ὑπόρρινον, εἶτα χείλη δύω, ὧν τὰ ἄκρα πρόχειλα, τὸ δὲ σύμβλημα τῶν χειλέων, προστόμιον.

Ὑπὸ δὲ ταῖς ὀφρύσιν ὑπόκεινται οἱ ὀφθαλμοί. αὐτοὺς δὲ τοὺς ὀφθαλμοὺς τὰ σκέποντα, βλέφαρα· ὧν τὸ μὲν ἄνωθεν, τὸ δὲ κάτωθεν. αἱ δὲ συμβολαὶ αἱ ἐν τῷ ἐπιμύειν γινόμεναι, ταρσοί· αἱ δὲ τρίχες, αἱ ἐκ τῶν βλεφάρων ἐκπεφυκυῖαι βλεφαρίδες· τὰ δὲ πέρατα τῶν ταρσῶν, κανθοὶ, ὧν ὁ μὲν πρὸς τῇ ῥινὶ μέγας, ὁ δὲ πρὸς τῷ κροτάφῳ μικρός. κόραι αἱ ὄψεις· γλῆναι τὰ μέσα τῶν ὀφθαλμῶν δι' ὧν ὁρῶμεν· οἱ δὲ ὄψιν μὲν ᾧ βλέπομεν· κόρην δὲ καὶ γλήνην, τὸ εἴδωλον τὸ ἐν τῇ ὄψει· τὰ δὲ μετὰ ταῦτα μέλανα, ἢ γλαυκὰ, ἢ χαρωπὰ, ἀπὸ τῆς χροίας καλεῖται. ἶρις δὲ ὁ κύκλος ὁ συνάπτων τὸ λευκόν· τὰ δὲ ὑπὸ τοῖς ὀφθαλμοῖς, ὑπώπια, οἷς ὑπόκεινται ἐπαναστάσεις τινὲς, αἱ καλοῦνται μῆλα, οἷς ἐρυθριῶμεν. ἀπὸ δὲ τῶν μήλων αἱ καλούμεναι παρειαὶ, καὶ σιαγόνες, καὶ γνάθοι, ὧν αἱ γένυες ἀπολήγουσιν εἰς τὸ ἄποξυ τῶν κάτω γνάθων τὸ γένειον. ἀφ' οὗ στόμα μέχρι τοῦ κάτω χείλους περιφερές τε καὶ ἐξέχον. τὸ δὲ ὑπόπιον ὑπὸ τὸ γένειον σαρκῶδες, ἀνθερεὼν, οἱ δὲ λευκανίαν· οἱ δὲ ἀνθερεῶνα μὲν τοῦτο, λευκανίαν δὲ τὸ πρὸς κλειδὶ κοῖλον ὀνομάζουσιν.

Ὦτα καλοῦνται αἱ ἐπαναστάσεις αἱ ἐξ ἑκατέρου μέρους τῶν κροτάφων πρὸς τᾶς τέρμασι πεφυκυῖαι· ὧν τὰ μὲν

τρήματα,

naſi alæ, ſeu pinnæ hujuſmodi cava ambientes ſunt: ſub columna ſubſidens cavitas ſupra labium philtron *Græcè, Latinè amatorium* dicitur; totum verò, quod infra naſum ſupra labia eſt, hyporrhinon appellant: deinde labia duo, quorum ſumma prochila *Græci* dicunt, tu prolabia, ſi lubet, dicito; quâ committuntur autem proſtomion eſt.

Sub ſuperciliis oculi ſunt: quæ oculos contegunt, palpebræ ſunt: harum altera ſupra, altera infra eſt: quarum in connivendo congreſſus tarſos vocant: pili ex palpebris enati, cilia ſunt. Tarſorum extrema, anguli, magnus naſo, exiguus tempori finitimus. Coræ pupillæ ſunt: glenæ oculorum media, per quæ videmus. Alii pupillam id vocant, quo videmus, coram autem & glenam ſimulacrum in pupilla conſpicuum: poſt hæc autem, quæ ſunt nigra, cæſia, aut ſplendida, à colore nominantur: iris circulus eſt prædicta albo continuans. Sub oculis loca hypopia *Græcè, Latinè ſubocularia ſunt.*

His inſurgentes eminentiæ ſubjacent malæ vocatæ: quæ per pudorem erubeſcunt: ſub his maxillæ, ſeu mandibulæ: quarum inferioris extremum in acutum deſinit, mentúmque eſt: à quo uſque ad inferius labium os ſit rotundum, atque prominens: ſub mento carnoſa pars *à Græcis* anthereon, ſeu leucania dicitur: verum alii anthereona hanc partem, leucaniam verò cavitatem juxta jugulum appellant.

Auriculæ eminentiæ ſunt ab utroque tempore juxta extrema collocatæ: quarum cavernulæ mea-

tus

tus auditorii vocantur: per quos audimus ſcilicet: harum inferiores carnoſæque partes fibræ ſunt, ſuperiores cartilaginoſæque pinnæ. Helices, quæ deinde circumferentiam ambiunt: anthelices verò in medio poſt helicem extumeſcentes propè cavitatem particulæ, cavitas ipſa concha dicitur: conchæ oppoſita propè temporis finem elatio tragus, *id eſt hircus* vocatur: huic oppoſita ex craſſiore anthelice antitragus.

Os eſt prima labiorum diviſura, & reliqua omnis uſque ad fauces inanitas: in ore & alia quædam, & dentes ſunt: quorum priores octo inciſores dicuntur: canini hos ſequentes quatuor: reliqui omnes viginti molares ſunt: horum extremi atque interius conditi quatuor ſophroniſteres, *id eſt moderatores, ac temperantes* nuncupantur: qui tum cùm ſapere incipimus, oriuntur: *genuinos Latini vocant*: dentes circumplexæ carunculæ gingivæ ſunt: quarum commiſſura habena dicitur: latæ molarium dentium ſummitates menſæ nominantur: maxillarum cavitates, in quibus dentes defixi ſunt, mortariola atque præſepia. Linguæ exortum radicem vocato: cervicem, quod ſequitur: ejus ſummum proglosſon, quaſi prælinguium dixeris: ejus latera paraſyra, *id eſt aſſequentia*: quod eſt infra linguam hypogloſſis eſt: epigloſſis, quod interius ſupra guttur eſt arteriæ aſperæ tegumentum: quò inter devorandum nihil in pulmones decidat: inter ſpirandum verò, ne ſpiritus aſcenſum impediat, extollitur. Quod ſupra linguam in orbem cavum eſt, cœlum, palatumve dicitur: quæ deinde ſuperius pendet caruncula, columella eſt: quam alii gur-

2 gulio-

κρεμῆ, καὶ σαρκώδη, λοβοί· τὰ δὲ χονδρώδη καὶ ἀνωτάτω, πτερύγια· ἕλικες δὲ, τὰ ἐντεῦθεν συνάπτοντα τὴν περιφέρειαν· ἀνθέλικες δὲ, τὰ ἐν μέσῳ ὑπεραίροντα μετὰ τὴν ἕλικα παρὰ τὴν κοιλότητα. κόγχη δὲ, τὸ ἀπὸ τῆς ἀνθέλικος κοῖλον· τὸ δὲ ἀπεναντίας τῆς κόγχης ἔξαρμα παρὰ τὸ πέρας τοῦ κροτάφου, τράγος· τὸ δὲ ἀντικρὺ τούτου παχυτέρας τῆς ἀνθέλικος, ἀντίτραγος.

Στόμα δὲ ἡ πρώτη τομὴ τῶν χειλῶν, καὶ ἡ λοιπὴ εὐρυχωρία πᾶσα μέχρι τῆς φάρυγγος. ἐν δὲ τῷ στόματι ἄλλα τέ τινα καὶ οἱ ὀδόντες, ὧν οἱ μὲν ἔμπροσθεν τομεῖς καλοῦνται, ὀκτὼ τὸν ἀριθμὸν ὑπάρχοντες. κυνοδόντες δὲ οἱ μετ᾽ αὐτοὺς τέσσαρες· οἱ δὲ λοιποὶ πάντες εἴκοσι, μύλαι προσαγορεύονται. τούτων οἱ ἔσχατοι καὶ ἐνδοτέρω σωφρονιστῆρες τέσσαρες, οἵτινες ἡνίκα ἀρχόμεθα φρονεῖν φύονται· τὰ δὲ περὶ τούτους περιέποντα σαρκία, οὖλα· ἡ δὲ ζώδεσις τῶν σαρκῶν, χαλινὸς καλεῖται· τράπεζαι δὲ τὰ πλατέα τῶν γομφίων· ὁλμίσκοι δὲ, καὶ φατνίαι αἱ κοιλότητες τῶν γνάθων, εἰς ἃς ἐμπεπήγασιν οἱ ὀδόντες. τῆς δὲ γλώσσης ῥίζα μὲν ἡ ἔκφυσις· αὐχὴν δὲ τὸ ἐφεξῆς· πρόγλωσσον δὲ τὸ ἔμπροσθεν, παράσυρα δὲ τὰ ἑκατέρωθεν. ὑπογλωσσὶς τὸ ὑποκάτω· ἐπιγλωσσὶς δὲ, τὸ ἔνδον ἐπὶ τοῦ βρόγχου, πῶμα γιγνόμενον τῆς τραχείας ἀρτηρίας, ὅταν τι καταπίνωμεν, ὑπὲρ τοῦ μηδὲν ἐμπίπτειν εἰς τὸν πνεύμονα· ἀναπνεόντων δὲ καὶ μετέωρόν ἐστιν, ὡς μὴ ἐπικωλύειν τὴν τοῦ πνεύματος ἄνοδον· οὐρανὸς ἡ ὑπερῴα, τὸ ὑπεράνω τῆς γλώσσης περιφερές· τὸ δ᾽ ἐντεῦθεν κατὰ τὰ ἄνω μέρη ἐκκεκρεμα-

μένον σαρκίον, κιονὶς, οἱ δὲ γαργαρεῶνα, οἱ δὲ σαφυλήν· ὑπόκειται δὲ αὐτῇ ἡ τοῦ βρόγχου κεφαλή.

Ἑξῆς τράχηλος, τὸ δ' αὐτὸ καὶ δειρή· οὗ τὸ μὲν ἔμπροσθεν βρόγχος καὶ τραχεῖα ἀρτηρία· ἡ δὲ κατὰ μέσον ἐπανάστασις, λάρυγξ. τὸ δὲ ὀπίσω αὐχὴν καὶ ἰνίον· τὸ δὲ πρὸς ταῖς κλεισὶ κοῖλον, ἀντικάρδιον, καὶ σφαγή.

Τὰ δὲ ἀπὸ τοῦ τένοντος ἐπὶ τοὺς ὤμους καθήκοντα, ἐπωμίδες. ὦμοι δὲ αἱ κεφαλαὶ τῶν βραχιόνων· ὠμοπλάται δὲ τὰ ἐπικείμενα τῷ νώτῳ πλατέα ὀστᾶ, ὧν ἡ διὰ μέσου ὑπεροχὴ ῥάχις· ἀκρωμία δὲ οἱ σύνδεσμοι τῶν κλειδῶν, καὶ τῶν ὠμοπλατῶν. ἐχομένως δὲ καὶ αἱ κατακλεῖδες. μασχάλη, ἡ ὑπὸ τῷ ὤμῳ κοιλότης, εἰς ἣν τὰ πολλὰ ὁ ὦμος ὀλισθαίνει. ἑξῆς βραχίων· ἡ δὲ γωνία τοῦ ἄρθρου, ἐφ' ἣν κλινόμενοι στηριζόμεθα, ἀγκὼν, ἢ ὠλέκρανον. τὸ δὲ ἐντεῦθεν ὁ πῆχυς. περαίνεται δὲ εἰς τὸν καρπόν. ἑξῆς ἐστι τὸ μετακάρπιον. ἑξῆς στῆθος χειρός· οἱ δὲ ὑπόθεναρ ὑπὸ τὸν μέγαν δάκτυλον, μεθ' ὃν ἡ κοιλότης τῆς χειρός. δακτύλων δὲ ὁ μέν τις μέγας ὁ ἀφεστηκὼς τῶν ἄλλων· ὁ δὲ λιχανὸς ὁ πρῶτος τῶν δακτύλων τεσσάρων· ὁ δὲ μέσος, ὁ δὲ παράμεσος, ὁ δὲ μικρός. τούτων τὰ ὀστᾶ, σκυταλίδες, ἢ φάλαγγες. κόνδυλοι δὲ αἱ συγκαμπαί· ἀλλὰ πρῶται μὲν προκόνδυλοι, τελευταῖαι δὲ μετακόνδυλοι. αἱ δὲ τῶν ὀνύχων ἀρχαὶ, ῥιζωνύχια· τὰ δὲ πέρατα τῶν δακτύλων, ῥάγες καὶ κορυφαί. θέναρ δὲ τὸ μεταξὺ διάστημα τοῦ λιχανοῦ καὶ τοῦ

μεγάλου

gulionem, uvam alii vocitarunt: ipſi ſubjicitur arteriæ aſperæ caput.

Deinde collum & dera *Græcè*, cujus prior pars bronchus, & aſpera arteria: circa medium prominentia guttur: averſa pars, cervix & occipitium: prope jugula cavum anticardium & jugulatio nuncupatur.

A tendone autem ad humeros pertinentia epomides nominantur. Humeri capita ſunt eorum oſſium, quæ *à Græcis* brachiona, *à noſtris etiam humeri* vocantur. Scoptula operta ſive lata ſcapularum oſſa tergo impoſita lata oſſa ſunt: quorum media eminentia ſpina eſt: jugulorum latorúmque ſcapularum oſſium copulæ acromia dicuntur: continenter claves adſunt, ſeu jugula. Ala eſt ſub humeris cavum, in quod frequenter humerus luxatus delabitur: deinde humerus eſt, qui brachion *à Græcis* vocatur: articuli angulus, quo nitimur inclinati, ancon eſt, ſive olecranon, *Latinè cubitus.* Quod ſequitur, ulna, ſive lacertus ſive brachium eſt, quod brachiali terminatur: poſtea palmæ, deinde manus pectus, alii hypothenaron vocant, ſub pollice eſt: poſtea eſt manus cavitas, quæ vola nominatur. Ex digitis unus ab aliis diſtans magnus, polléxque dicitur. Index autem inter alios quatuor primus eſt, alter medius, tertius annularis, ultimus minimus: horum oſſa ſcuticulæ, aut phalanges, aut internodia vocantur, quorum curvaturæ condyli, ſed primæ procondyli, ultimæ metacondyli, *omnes à Latinis nodi vocati ſunt:* unguium initia radices unguium appellantur: digitorum extrema acini, aut cacumina: interſtitium annularis

ac pollicis thenar eſt. Hippocrates autem totum hunc locum thenar appellaſſe viſus eſt: *qui apud Latinos volæ nomen habet.*

A jugulis autem in parte priori pectus ac ſternon eſt. Tergum verò poſterius à cervice ponitur. Deinde quod appellant metaphrenon, hoc eſt pars è regione ſepti poſita: ſequuntur lumbi pars dorſi infima: in pectore carnoſæ eminentiæ mammæ ſunt, quarum ſumma papillæ: totum, quod ſub ala deorſum verſus protenditur, latus eſt, oſſa coſtæ & ſpathæ: quarum primæ inter ſe committuntur ad terminum oſſis, quod *Græci* ſternon, *Latini os pectoris* nuncupant: qua cor ſitum eſt, phrenes vocantur, aliqui procardiam, quaſi ante cor poſitum, aliqui cor nominant: poſt ipſum eſt ventriculi oſtium: inter coſtas ſpatia intercoſtalia vocant. Spuriæ coſtæ ſunt, quæ non inter ſe coeunt: hæ in cartilagines degenerant.

Muſculoſæ partes ſub cartilaginibus hypochondria *Græcè*, *ſubcartilaginea Latinè, à quibuſdam præcordia* dicta ſunt. Deinde alvus eſt: quem alii ventrem nominant: quod in medio eſt, epigaſtrion *Græci* vocant, ſuper ventrem ſcilicet cutem: media cavitas umbilicus eſt, ei circumdata cutis vetula vocatur: quòd ea corrugata ſenectam adeſſe ſignificat: quòd ſub umbilico ponitur, abdomen ac ſumen eſt: quod poſtea ad genitalia uſque pertinet, epiſion, pubes ac pecten dicitur.

Genitalium maris quod pendulum eſt, ſtema *Græcè, coles Latinè, peníſque* dicitur: quod non pendet, hypoſtema hoc eſt ſedimentum, aut perineus: ejus extremum præputium eſt. Scro-

μεγάλου δακτύλου. δοκεῖ δέ μοι Ἱπποκράτης πᾶν τὸ πλατὺ τῆς χειρὸς θέναρ ὀνομάζειν.

Ἀπὸ δὲ τῶν κλειδῶν τὸ μὲν ἔμπροσθεν, στῆθος καὶ στέρνον· νῶτον δὲ τὸ ἐξόπισθεν ἀπὸ τοῦ αὐχένος. μετάφρενον δὲ μεταξύ· ἔπειτα δὲ ὀσφύες. αἱ δὲ ὑπὸ τῷ στήθει σαρκώδεις ὑπεροχαὶ, μαστοὶ καὶ τίτθοι, ὧν τὰ ἄκρα θηλαί. πλευρὰ δὲ καλεῖται πᾶν τὸ ὑπὸ τῇ μασχάλῃ· τὰ δὲ ὀστᾶ, πλευραὶ δὲ σπάθαι· ὧν αἱ πρῶται συνάπτουσιν ἀλλήλαις εἰς τὸ τέρμα τοῦ στέρνου· καθ' ὃ ἡ καρδία ἐστὶν, αἱ φρένες· οἱ δὲ προκαρδίαν, οἱ δὲ καρδίαν· μεθ' ὅ ἐστι τὸ στόμα τῆς κοιλίας· τὸ δὲ μεταξὺ ταῦτα τῶν πλευρῶν μεσοπλεύρια. νόθαι δὲ πλευραὶ αἱ μὴ συνάπτουσαι ἀλλήλαις· χόνδροι, τὰ πέρατα τούτων.

Ὑποχόνδρια δὲ, τὰ ὑπὸ τοῖς χόνδροις μυώδη· κοιλία δὲ ἡ γαστήρ· τὸ δὲ ἐπιγάστριον τὸ ἐπὶ τῇ γαστρὶ δέρμα. ὀμφαλὸς τὸ ἐν μέσῳ κοῖλον· τὸ δὲ περικείμενον δέρμα τῷ ὀμφαλῷ, γραία καθ' ὃ ῥυτιδούμενον τοῦτο γῆρας σημαίνει. τὸ δὲ ὑποκάτω τοῦ ὀμφαλοῦ, ὑπογάστριον καὶ ἦτρον. τὸ δὲ ὑπὸ τοῦτο μέχρι τῆς αἰδοίων, ἐπίσειον, ἢ ἐφήβαιον.

Τῶν αἰδοίων τοῦ μὲν ἄῤῥενος, τὸ μὲν ἐκκρεμὲς, στῆμα· τὸ δὲ μὴ ἐκκρεμὲς, ὑπόστημα, ἢ περίναιος· τὸ δὲ ἄκρον τούτου πόσθη· ὄσχεος δὲ ἐν ᾧ οἱ δίδυμοι· ὧν τὸ μὲν ἄνω κεφαλὴ,

φαλὴ, τὸ δὲ κάτω πυθμὴν καλεῖται· τὸ δὲ χαλώμενον τοῦ ὄσχεου, λακκόπεδον.

Τῆς δὲ γυναικὸς, κλεὶς μὲν τὸ ἄνω· σχίσμα δὲ ἡ πρώτη τομή· τὸ δὲ ἐν μέσῳ μυῶδες σαρκίον, μύρτον, ἢ νύμφη· μυρτόχειλα δὲ τὰ ἑκατέρωθεν πτερυγώματα.

Τῆς ῥάχεως τὰ ὀστᾶ, σφόνδυλοι· ἡ δὲ πᾶσα σύνθεσις τῶν σφονδύλων ἄκανθα, ἧς τὰ κατωτέρω, ὀσφὺς· τὸ δὲ τελευταῖον τῆς ῥάχεως, ἱερὸν ὀστοῦν· οἱ δὲ ὑποσφόνδυλον. τούτου τὸ ἄκρον, κόκκυξ καλεῖται. τῆς δὲ ὀσφύος παρ' ἑκάτερα, γλουτοί. πυγαὶ δὲ μετὰ τὴν ὀσφὺν σαρκώδη, καὶ ἐφέδρανα καλεῖται.

Βουβῶνες δὲ αἱ ἀρχαὶ τῶν μηρῶν. τῶν δὲ μηρῶν τὰ μὲν ἔσω μέρη, παραμήρια· τὰ δὲ μεταξὺ τούτων πρὸς τὸν περίναιον, πληχάδες. οἱ δὲ πρὸς τοῖς γόνασι μύες, ἐπιγουνίδες· τὰ δὲ ὀστᾶ ἐπιγονατίδες. Ἱπποκράτης τοῦτο μύλην καλεῖ. γόνυ δέ ἐστι τὸ ἄρθρον τοῦ μηροῦ, τὸ πρὸς τῇ κνήμῃ. ἡ δὲ σύγκαμψις, ἰγνύα. γαστροκνήμια δὲ ὁ μέγας μῦς, ὁ ὄπισθεν τῆς κνήμης, ἀφ' οὗ τὸ πλατὺ νεῦρον τὸ πρὸς τῇ πτέρνῃ. τῶν δὲ ὀστῶν, τὸ μὲν ὀπίσω, κνήμη· τὸ δὲ ἔμπροσθεν, ἀντικνήμιον. τὰ δὲ ἄκρα πρὸς τοῖς ποσὶ σφυρά· ἀστράγαλοι δὲ οὐκ ὀρθῶς ὀνομάζονται. εἰσὶ μὲν γὰρ, ἀλλ' οὐκ ἐμφανεῖς. πτέρνα τὸ ὄπισθεν περιφανὲς τοῦ ποδός. τὸ δὲ ἐφεξῆς, κοῖλον· τὸ δὲ μετὰ τοῦτο καλεῖται πεδίον, οὗ τὸ ἐπάνω ταρσός· πέζα δὲ ἡ πᾶσα θέσις τοῦ ποδός· δάκτυλοι δὲ, ὁμοίως τοῖς χερσὶν ὀνομάζονται.

tum quo teſtes continentur, appellatur: eorum ſuperior pars caput eſt, inferior fundum: partem laxiorem ſcroti laccopedon dicunt.

Muliebrium locorum pars ſuperior pecten eſt: fiſſum verò prima diviſio: in medio ſita muſculoſa caruncula myrton, aut nympha eſt: myrtochila verò à lateribus collocatæ pinnæ.

Dorſi oſſa vertebræ ſunt: univerſa vertebrarum compago ſpina dicitur: cujus infima pars lumbi: poſtremúmque dorſi ſacrum os eſt: quod aliqui hypoſpondylon, *id eſt ſubvertebrum, ut verbum verbo reddatur*, appellarunt. Hujus extremum coccyx eſt, *Latinè cuculus:* à lumborum lateribus nates ſunt: poſt lumbos carnoſæ partes clunes appellatæ ſitæ ſunt: quæ & ephedrana, quòd ſedendo commodæ ſint, *à Græcis* nominantur.

Inguina ſunt femorum principia: femorum partes interiores fœmina ſunt, quæ partes inter has perineúmque ſunt, plichades *à Græcis* dicuntur. Muſculi ad genua tendentes epigunides *Græco nomine* vocantur: oſſa ſuperjacentia epigunatides: hæc Hippocrates molas vocat, *Latini patellas*. Genu eſt femoris cum crure connexio: ſub quo poples eſt. Sura eſt poſterior magnus cruris muſculus: unde latus nervus ad calcem tendit: oſſium verò poſterius item ſuram, prius tibiam dicito: extrema pedibus propinqua malleoli, à nonnullis tali, ſed non rectè dicuntur. Tali tamen & ipſi adſunt, ſed non oculis conſpicui. Calx poſterior eſt pedis rotunda pars: poſt quam cavum pedis eſt: poſt hoc verò planta, ſeu veſtigium: cui oppoſitum ſupremum tarſus eſt: totum verò pedis ſitumpezam *Græci* vocant. Pedum digiti manuum digitis appellationibus reſpondent.

RUFFI

EJUSDEM

DE

CORPORIS HUMANI PARTIUM

APPELLATIONIBUS

LIBER II.

POſteaquàm extimarum corporis humani partium appellationes expoſuimus, deinceps continuata ſeriè ad latentium, internarúmque notitiam tranſeamus: quippe cùm à viris ſapientibus homo exiguus quidam mundus appelletur, cœleſtis ordinis æmulus, in membrorum fabrica, actionibúſque præſtandis varium effectum artificium poſſidens: quemadmodum igitur reliqua medicinæ præcepta, ita & quæ ad diſſectionis artem faciunt, referenda ſunt. Quam ob rem artis principia, ac veluti fundamenta illuſtrioris doctrinæ cauſa jacientes, quem ſitum membris natura tribuerit, corúmque ſimul nomina explicabimus.

Ita-

ΤΟΥ ΑΥΤΟΥ

ΟΝΟΜΑΣΙΩΝ

β.

Παραδόντες τὴν τῶν ἔξωθεν θεωρουμένων ὀνομασίαν, ἑξῆς οὖν ἐπὶ τὴν ἐντόσθιον μεταβαίνωμεν γνῶσιν. ἔοικε γὰρ κατὰ τοὺς σοφοὺς οἱονεὶ μικρὸς κόσμος ὁ ἄνθρωπος, ἀντίμιμον τῆς οὐρανίου τάξεως, ποικίλην ἔχων δημιουργίαν ἀποτελεσμάτων ἔν τε τῇ τῶν μερῶν κατασκευῇ, καὶ τῇ τῶν ἔργων ἐκβάσει· παιδευτέον οὖν καθάπερ τὰ ἄλλα, τὰ κατὰ τὴν ἰατρικὴν, οὕτωσὶ δὲ καὶ τὰ κατὰ ἀνατομὴν θεωρήματα. τῆς οὖν τέχνης ἀρχὰς εἰς διδασκαλίας, καὶ οἱονεὶ ὑποβάθραν ποιούμενοι ἐκθησόμεθα ἣν παρέσχε τοῖς μέρεσιν ἡ φύσις θέσιν τε καὶ ὀνομασίαν.

Εν τῇ κεφαλῇ τοίνυν περιέχεται κατὰ τὴν κοιλότητα τοῦ κρανίου σὺν ταῖς περὶ αὐτὸ μήνιγξιν ὁ ἐγκέφαλος, κατὰ σύγκρισιν πρὸς τὰ ἄλλα ζῶα μείζων ὡς ἐπ᾽ ἀνθρώπου τυγχάνων· ἀθαρώδης καὶ γλίσχρος τὴν σύγκρισιν, καὶ διάλευκος· ὑφ᾽ ᾧ πρὸς τῷ ἰνίῳ τέτακται ἡ καλουμένη παρεγκεφαλίς· τῶν δὲ μηνίγγων, ἡ μέν τις ἐστὶ προσυπὴς τῶν τοῦ κρανίου ὀστῶν, ἣ καὶ σφυγμικῶς κινεῖται. δευτέρα δὲ ἡ περὶ αὐτὸν ἡ σκέπουσα τὸ λελυμένον αὐτοῦ καὶ διακατέχουσα τὴν σύστασιν. αὗται δέ εἰσι νευρώδεις καὶ ὑμενώδεις, ποσήν τ᾽ αἴσθησιν ἔχουσαι καταπλοκῆς ἀγγείων· ἀκίνητος μὲν ἡ ἐνδοτέρω, εὐκίνητος δὲ καὶ παχυτέρα ἡ ἐπάνω. ἀπὸ δὲ τοῦ ἐγκεφάλου γίγνεται ἀπόφυσις τοῦ μυελοῦ διϊκνουμένη διὰ τοῦ τρήματος τοῦ κρανίου κατὰ τὸ ἰνίον, καὶ διὰ τῆς τῶν σφονδύλων κοιλότητος διοχετευομένη διὰ πάντων μέχρι τοῦ τελευταίου, οὐκ ἰδία σύστασις, ἀλλ᾽ ἀπόρροια ἐγκεφάλου· καλεῖται δὲ ἐννωτιαῖος μυελός. ἐκφύσεις δέ εἰσι πόρων ἀπὸ τοῦ ἐγκεφάλου διήκουσαι νευρώδεις καθ᾽ ἕκαστον αἰσθητήριον, οἷον ὦτα, ῥῖνας, καὶ τὰ λοιπά· μία δὲ ἀπὸ βάσεως φέρεται ἔμπροσθεν ὡς διῃρημένη διχῆ, προκύπτει τὲ εἰς ἑκάτερον τῶν ὀφθαλμῶν κατὰ τὴν λεγομένην πυελίδα, καὶ βοθρώδη κοιλότητα τοῦ προσώπου, παρ᾽ ἑκάτερα τῆς ῥινός, ἔνθα ἡ τῶν χιτώνων πλοκὴ γέγονε.

Τῶν τὸν ὀφθαλμὸν συνυφαγκότων τοιαύτη. ὁ πρὸ πάντων τεταγμένος, ἀπὸ μὲν τῆς τάξεως ὠνόμασται πρῶτος· ἀπὸ δὲ τῆς χρόας, λευκός, ὡς αἱ οὐλαὶ μηνύουσαι τὴν λευκότητα τούτου, χιτὼν πρῶτος λευκός· κερατοειδὴς δὲ ἤτοι διὰ τὴν εὐτονίαν, ἢ διὰ τὸ λάμπειν τὸ παρακείμενον ὑγρὸν ἔνδοθεν,

Itaque in capite intra calvariæ concavum ſuis cum velaminibus cerebrum includitur: próque corporis mole longè majus in homine quàm in cæteris animantibus reperitur: ejus ſubſtantia pulticulæ ſimilis eſt, viſcida atque præcandida: poſt id in occipitio vocatum cerebellum collocatur. Tunicarum prima calvariæ oſſibus affixa eſt, quæ pulſatorio etiam motu cietur: altera cerebro circumdata ipſum diſſipabile conſervat, ejuſque fragile corpus in unum cogit ac retinet: utráque nervoſa membranoſáque eſt, exiguo interſitorum vaſculorum ſenſu prædita: interius condita motu caret, exterior mobilis atque craſſior eſt. A cerebro medullæ proceſſus exoritur per calvariæ foramen in occipitio erumpens, per vertebrarúmque omnium cava ad extremam uſque delabitur, neque propria tamen cerebri ſubſtantia eſt, ſed emanatio, quæ ſpinalis medulla vocatur. Meatuum verò proceſſus ſunt à cerebro nervoſi ad ſingula ſenſoria, ut ad aures naréſque, & hujuſmodi alia propagati: unus autem à baſi prorſum verſus in duos diviſus progreditur, & ad utrúmque oculum pergit: quâ parte vocata pelvis eſt, atque inſtar foveæ juxta utrámque narem faciei cavitas: ubi tunicarum oculum componentium plexus efficitur.

Earum tunicarum prima nimirum ab ordine prima, à colore verò candida vocata eſt: quemadmodum & cicatrices ejus candorem indicantes oſtendunt. Tunica igitur prima candida vocatur: & cornicularis, ſive cornea: aut propter firmitatem, aut quoniam interius conditus humor per

 hanc,

hanc, tanquam per corniculum pellucet, aut quòd inſtar cornu in corpuſcula ctedonas vocata, *id eſt fibras aut filamenta* reſolvitur. Secunda verò primæ per appenſionem uſque ad vocatam coronam adnexa eſt, quæ media dehiſcit, atque orbiculari cavo perforatur: cavatum autem corpuſculum exterius, quâ cornicularem attingit, læve terſúmque eſt: in averſâ parte aſperum, ut inquit Herophilus, quale uvæ acini corium eſſe ſolet, vaſculis perplexa hæc tunica eſt: quæ ſecunda ab ordine, perforata à ſtructura, à ſimilitudine rhagoides, *Latinè acinalis, aut uvalis*: choroides etiam, quod inſtar ſecundinarum, quas chorion *Græci* vocant, vaſculis ſit multis irrigata, nominatur. Tertia ab eodem meatu progreſſa tunica humorem ovi albo ſimilem, vitreúmque appellatum includit: eſt hæc prætenuis, vocatúrque ab humoris concretione vitrea, à tenuitate aranealis, à vaſculorum contextu figuráque reticularis: quippe quæ ex anguſto in latum diffunditur, ſinuatúrque: quò quartam tunicam humorem cryſtallo ſimilem continentem involvat, cujus dimidium prominet, ſecundinæ tunicæ foramini contiguum, dimidium cum araneali committitur. Hæc igitur tunica diſcoides, *id eſt diſco ſimilis aut lenticularis* à figura vocatur, aut à concreto humore cryſtalloides: nempe quidam hanc neque tunicam appellandam eſſe cenſent: nam membranoſam quandam congelationem eſſe dixerunt.

De

ἔνδοθεν, ὡς διὰ κέρατος· ἢ διὰ τὸ κέρατι παραπλησίως εἰς κληδόνας ἀναλύεσθαι. δεύτερος δὲ χιτὼν ἐστὶ προσυπὴς τῷ πρώτῳ γενόμενος κατὰ προσάρτησιν, ἄχρι τῆς λεγομένης στεφάνης, ὃς κατὰ τὴν ἑαυτοῦ μεσότητα διάστασιν σώζει, καὶ τέτρηται κυκλοτερῶς. τὸ δὲ τετρημένον σῶμα, λεῖον μέν ἐστιν ἔξωθεν, καθ᾽ ὃ προσπίπτει τῷ κερατοειδεῖ· δασὺ δὲ ἀπὸ τῶν ἀπεστραμμένων, ὡς φησὶν Ἡρόφιλος, ῥαγὸς σταφυλῆς δορᾷ ὅμοιος, καταπεπλεγμένος ἀγγείοις. καλεῖται δὲ οὗτος καὶ δεύτερος τῇ τάξει, καὶ τετρημένος τῇ κατασκευῇ, καὶ ῥαγοειδὴς ἀπὸ τῆς ἐμφερείας, καὶ χοροειδής, ὁμοίως χορίῳ κατηγγειωμένος· ὁ δὲ τρίτος ἀπὸ τοῦ αὐτοῦ πόρου προελθὼν περιέχει ὑγρὸν τῷ λευκῷ παραπλήσιον, λεγόμενον ὑαλοειδές. ἐστὶ δὲ λεπτὸς ἄγαν οὗτος· καλεῖται δὲ ἀπὸ μὲν τῆς τοῦ ὑγροῦ πήξεως, ὑαλοειδής· ἀπὸ δὲ τῆς λεπτότητος, ἀραχνοειδής· ἀμφιβληστροειδὴς δὲ διὰ τὴν τῶν ἀγγείων καταπλοκὴν καὶ τὸ σχῆμα. ἀπὸ γὰρ στενοῦ εἰς πλάτος ἀνευρύνεται, καὶ κοιλαίνεται πρὸς παραδοχὴν τοῦ τετάρτου χιτῶνος ὑγρὸν περιέχοντος κρυστάλλῳ παραπλήσιον· οὗ τὸ μὲν ἥμισυ προκύπτει συνεχὲς ὑπάρχον τῷ τοῦ δευτέρου τρήματι· τὸ δὲ ἥμισυ σύγκειται τῷ ἀραχνοειδεῖ· οὗτος τοίνυν κέκληται δισκοειδής, καὶ φακοειδὴς ἀπὸ τοῦ σχήματος· κρυσταλλοειδὴς δὲ ἀπὸ τῆς τοῦ ὑγροῦ πήξεως· τοῦτον δὲ οὐκ ἀξιοῦσί τινες χιτῶνα ὀνομάζειν. ἐπίπαγον γάρ τινα ὑμενώδη λέγουσιν εἶναι.

ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΩ ΣΤΟΜΑΤΙ.

Ἑξῆς μετιτέον ἐπὶ τὰ ἐν τῷ στόματι περικείμενα. ἡ μὲν οὖν γλῶσσα θεωρεῖται περιφερὴς τῷ σχήματι, ἀπὸ πλάτους εἰς στενὸν καταλήγουσα, ἐρριζωμένη ἀπὸ τοῦ φαρυγγέθρου, σαρκώδης τὴν σύγκρισιν καὶ πως νευρώδης, κινουμένη εἴς τε μάσησιν τῶν σιτίων, καὶ τὴν τῆς καταπόσεως ἐνέργειαν, ἔτι τε εἰς τὴν τοῦ ἐνάρθρου φωνῆς γένεσιν τὸν ἐκπεμπόμενον ἀέρα σχηματίζουσα, κατὰ τὴν τῆς ψυχῆς ἐπίστασιν, αἰσθήσεως μετέχουσα τῆς γευστικῆς· κατὰ δὲ τὴν βάσιν ταύτης ἐκπεφυκυῖα τυγχάνει ἡ ἐπιγλωττὶς, οἱονεὶ γλῶσσα μικρὰ ἐπάνω τοῦ πλάτους αὐτῆς ἐνεστῶσα κατὰ τὴν φάρυγγα ἐκ βάσεως πλατυτέρας εἰς στενὸν λήγουσα, χονδρώδης τὴν σύγκρισιν, κατὰ τὴν πρὸς τὸν φάρυγγα συγγένειαν· ἣ τῆς μὲν τραχείας ἀρτηρίας πῶμα γίγνεται, τῆς δὲ εἰς τὸν στόμαχον τῶν σιτίων παραπομπῆς ὁδός. ἐπὶ δὲ τῆς ἐπιγλωσσίδος ἄνωθεν ἐκκρεμὴς ἐπίκειται ἡ κιονὶς, ἀπὸ τῶν κατὰ τὸν ἄνθρωπον μερῶν ἐκπεφυκυῖα, κατὰ τὰ τῆς ὑπερώας τρήματα, ἣ καὶ σταφυλὴ καλεῖται, ἀπὸ τῆς κατὰ τὸ ἄκρον περιφερείας, οὐ σπουδαίαν τινὰ παρεχομένη χρείαν· διὸ οὐδὲν ἐμποδίζονται οἱ ταύτην ἀποτμηθέντες. ἐνδοτέρω δὲ τῆς γλώττης ἐξ ἑκατέρου μέρους κεῖται προσυπῆ παρίσθμια, ἓξ τὸν ἀριθμὸν ὄντα, ἀδενώδη τὴν σύγκρισιν, καί πως περιφερῆ εὔτρεπτα, εὐαπόλυτα, ὑμενίοις προσειλημμένα πρὸς ἄρτησιν κατὰ βάθος· ὧν τὰ μὲν τέσσαρα ἐξ ἑκατέρου μέρους, θεω-

De his, quæ ore continentur.

DEinceps ad ea, quæ in ore latent, deſcendamus. Lingua primum turbinata figura conſideretur, à lato in anguſtum gracileſcens, à faucibus radices ducens, carnoſo & quodammodo nervoſo corpore, in cibis atterendis devorandíſque mobilis: præterea & ad articulatæ vocis creationem emiſſum aerem ſecundum animi inclinationem conformans, guſtatoriúmque ſenſum participans. In hujus baſi epigloſſis vocata exoritur, ceu quædam exigua lingua ſupra ejus latitudinem aſſurgens, in faucibus ex latiore baſi in anguſtum finiens, cartilaginea materia conſtans, faucibúſque cognata: hæc aſperæ arteriæ operculum, & ciborum in gulam deſcenſus iter quoddam eſt. Supra epiglottida autem ſupernè columella dependet, ex palati partibus ſecundum ejus foramina exoriens: hæc & uva ab extremitatis rotunditate vocatur, nullam magni faciendam utilitatem afferens: unde fit, ut ea reciſa nulla corporis actio vitietur. In penitioribus autem ab utrâque linguæ parte affixæ tonſillæ ſunt, numero ſex, corpore glanduloſæ, figura ſubrotundæ, natura facilè mutabiles, atque diſſipabiles, membranulis quibuſdam altius inſertis convolutæ: ex his quatuor ab utroque latere cernuntur, duæ verò cerni vix queunt. Has

Græci

Græci vocant pariſthmia, quod in anguſto meatu ſitæ ſint: veteres enim *Græci* locorum anguſtias iſthmos appellabant. Antiadas verò, quaſi contrarias dicas, idcirco etiam nominabant, quoniam ore aperto inter ſe contrariæ, præſertim quum inflammatæ ſunt, appareant.

De Pharynge, id eſt aſpera arteria, gula, pulmone, liene & hepate.

INde à palati ac linguæ partibus duo itinera pateſiunt: horum prius pharynx *Græcum vocabulum habet:* inter hoc & colli vertebras gula eſt. Pharynx cartilaginoſus eſt, atque in orbem patens, ſuperius latior, infra verò anguſtior: per jugula autem appellatúmque antiſternon, *id eſt ſpinam dorſi,* quæ pectori opponitur, deſcendens in medios pulmones inſeritur: ipſoſque annulis, quæ bronchia vocant, intexit: hujuſmodi membrum aſpera arteria, quòd iſtis annulis aſperata ſit, dici meruit: bronchus etiam à quibuſdam vocatur, ad aeris inſpirando ducti tranſitum vocemque edendam à natura conſtitutus. De ipſo pulmo ſuſpenditur rarus ac pervius, pectoris inanitate concluſus: idem globoſus eſt, muriſq; caudæ figura ſpeciem repræſentans: in fibras quinque diducitur, colore cinereo atq; ſubalbido: aſſidua motione concutitur, follis morem in ſpiritus tranſitu retinens, quippe ſpiritus per aſperam arte-

θεωρεῖται· τὰ δὲ δύω ἐστὶν ἀφανέστερα· παρίσθμια δὲ εἴρηται ἀπὸ τοῦ ἐν στενῷ πόρῳ κεῖσθαι· οἱ γὰρ ἀρχαῖοι τὰ στενὰ ἰσθμοὺς ἐκάλουν. ἀντιάδες δὲ ἀπὸ τοῦ κατὰ τὴν διάνοιξιν τοῦ στόματος ἀλλήλαις ἐναντίας φαίνεσθαι, καὶ μάλιστα ὅταν φλεγμαίνωσι.

ΠΕΡΙ ΦΑΡΥΓΓΟΣ, ΣΤΟΜΑΧΟΥ, ΠΛΕΥΜΟΝΟΣ, ΣΠΛΗΝΟΣ ΚΑΙ ΗΠΑΤΟΣ.

Ἐντεῦθεν δὲ ἀπὸ τῶν κατὰ τὸν ἄνθρωπον μερῶν, καὶ τῆς γλώττης ἐκφύονται εἰς βάθος δύο πόροι· ὧν ὁ μὲν ἔμπροσθεν καλεῖται φάρυγξ· μεταξὺ δὲ τούτου καὶ τῶν τραχήλου σφονδύλων, στόμαχος. καὶ ὁ μὲν φάρυγξ χονδρώδης τυγχάνει, καὶ ἀναπετὴς κατὰ περιφέρειαν, ἐκ μὲν τῶν ἄνω πλατύτερος ὑπάρχων, ἐκ δὲ τῶν κάτω στενότερος· προϊὼν δὲ κατὰ τὰς κλεῖς καὶ τὸ ἀντίστερνον, τοῦ πνεύμονος ἐκφύεται μέσον, καὶ καταπλέκει τοῦτον τοῖς καλουμένοις βρογχίοις· τραχεῖα δὲ ἀρτηρία κέκληται οὗτος ἀπὸ τοῦ τετραχῦνθαι· βρόγχος δὲ ὑπὸ ἐνίων εἰς πάροδον γεγονὼς τοῦ κατὰ ἀναπνοὴν ἑλκομένου πνεύματος καὶ φωνῆς γένεσιν. ἐξήρτηται δὲ ἀπ' αὐτοῦ ὁ πνεύμων σομφός τε καὶ ἀραιὸς, περιεχόμενος τῷ κύτει τοῦ θώρακος, σφαιρώδης, καὶ μείουρος, τὸ σχῆμα, διαιρούμενος εἰς λοβοὺς πέντε, τὴν χρόαν τεφρὸς, καὶ ὑπόλευκος, ἀεικίνητος, χώνης τρόπον ἐπέχων εἰς δίοδον τοῦ πνεύματος· τὸ γὰρ διὰ φάρυγγος ἀγόμενον

εἰς τὰ βρόγχια, διὰ τῶν ἀραιωμάτων αὐτοῦ εἰς τὰ κενὰ τοῦ θώρακος δίεισι, καὶ πάλιν εἰς τὸ ἐκτὸς ἀπὸ τούτου διαπέμπεται τοῖς κατὰ φύσιν πόροις.

Ἑκατέρωθέν τε προϋπέσταλται τοῖς ὑποχονδρίοις, ὅ, τε σπλὴν, καὶ τὸ ἧπαρ, ὃ κεῖται ὑπὸ τὸν πνεύμονα· ἀλλὰ τὸ μὲν ἧπαρ εἰς τὸ δεξιὸν μέρος μᾶλλον προσηρτημένον τῷ διαφράγματι, ἐκ τῶν ὄπισθεν μερῶν ὠγκωμένον, ἐν τομαῖς λοβῶν τεσσάρων ἢ πέντε διασεσημασμένον, φακῶδες τὴν χροιὰν, ἐπὶ τὸ ἐνερευθέστερον· φλεβωδέστερον δὲ τὴν σύγκρισιν, καθ᾽ ὃ καὶ αἱματῶδες τῇ συστάσει, τῶν φλεβῶν δὲ τὰ ἐπὶ τὴν κοίλην φλέβα, τῇ διὰ τοῦ διαφράγματος ἐπὶ τὴν καρδίαν συνάπτον, τὰ στόματα ὑπὸ τῶν ἀρχαίων εἴρηται καὶ πύλαι· ὑπὸ δὲ τὸ κεκυρτωμένον μέρος ἔχει προσπεφυκὸς ἀγγείδιον κύστει παραπλήσιον, νευρῶδες, χολῆς περιεκτικὸν τοπικῶς ἐν αὐτῷ γινομένης· ἀφ᾽ οὗ δὴ καὶ πόρος νευρώδης τείνει διὰ τοῦ μεσεντέρου ἐπὶ τὰ ἔντερα, δι᾽ οὗ καταβραχὺ διηθεῖται ἡ χολὴ εἰς τὰ ἔντερα, καὶ ἐπιχρώννυσι τὸ κόπρον, καὶ πρὸς τὴν ἀπόκρισιν αὐτοῦ προθυμίαν παρέχεται· οὗ διαφραγέντος τὸν ἴκτερον συμβαίνει γίγνεσθαι, τῆς χολῆς ἀναχεομένης εἰς τὸν ὄγκον· διὸ λευκὰ καὶ ἀργιλώδη τὰ διαχωρήματα φέρεται.

ΠΕΡΙ ΗΠΑΤΟΣ.

Ἔστι δὲ τὸ ἧπαρ πολύθερμον, καὶ πυρῶδες, καὶ πολλὴν τροφὴν ἀναρπάζον εἰς αὐτὸ, καὶ εἰς τὰ κατάλληλα μέρη· διὸ καὶ εὐρωστότερά ἐστι τὰ δεξιά.

ΠΕΡΙ

arteriam in bronchia tractus per pulmonis ſpiramenta intra pectoris cavum elabitur : atque iterum, foras ab hoc per naturalia foramina propellitur.

Ab utriſque præcordiis lienis jecúrque jacent: ſub pulmone à dextris jecur eſt, tranſverſo diſcrimini magis appenſum, poſteriori parte in gibbum aſſurgens : in quatuor aut quinque fibras dirimitur, colore lentis ad rubicundius tamen vergit, venoſo corpore juxta atque ſanguineo. Venas autem, quæ cavæ per interſeptum ad cor tendenti committuntur, ora portáſque vetuſti ſcriptores nuncuparunt. Sub convexa parte puſillum quoddam vaſculum veſicæ ſimile defixum eſt, nervoſum, fellíſque inibi geniti capax : à quo ſane meatus quidam nerveus per lactes ad inteſtina contendit : per quem paulatim bilis in inteſtina delabitur, excrementáque felleo colore ſuffundit, atque ipſa depellendi cupidinem infert. Hoc intercluſo itinere aurigo futura portenditur, bile per omne corpus effuſa: quocirca albidæ cretaceæque dejectiones exeunt.

De jecore.

EST autem præfervidum igneúmque jecur plurimum ad ſe alimenti attrahens, ac finitimis partibus communicans : idcircò ſiniſtris dextræ partes viribus præſtant.

De Liene.

AT lienis jecori contrarius in ſiniſtris præcordiis jacens opponitur, ad humani veſtigii longitudinem protentus, ſuperius rotundus & robuſtus, infra contractus & gracilis, medius anguſtior, vini fæcis colore perfuſus, laxus ac foraminulentus, conceptaculis multis implicitus : ignavum membrum, nullóque fungens miniſterio.

De Corde.

PUlmonis fibris cor circumtegitur, intra pectus ſedem habens ſecundum medium, magis tamen ad ſiniſtram declinans, & ſub ſiniſtra mamma collocatur, pinei nuclei effigiem adeptus, & à lata baſe in mucronem inſtar turbinis acuminatum, muſculoſum natura atque nervoſum, pulſatorio ſemper motu percitum, medium inane, duobus manifeſtis ſiniſtris concavum, altero in dextris, qui ſanguineus, quòd multitudine ſanguinis affluat, appellatur: altero in ſiniſtris ſpirituoſo, quoniam ſpirituum copia redundat, nuncupato: inde fit etiam, ut ſpirituum agitatione moveatur. Membranis præterea utrinque latioribus auricularibus vocatis cor præcingitur : quoniam ad aurium imaginem cordis lateribus inhærent, & prominent. Ab ipſo verò plura conceptacula naſcuntur, & venæ,

ΠΕΡΙ ΣΠΛΗΝΟΣ.

Ὁ δὲ σπλὴν ἐναντίως τέτακται τούτῳ· κεῖται γὰρ κατὰ τὸ εὐώνυμον ὑποχόνδριον παρεκτεινόμενον ἐπὶ μῆκος ἀνθρωπίνῳ ἴχνει· ἐκ μὲν τῶν ἄνω περιφερὴς καὶ ἐῤῥωμένος, ἐκ δὲ τῶν κάτω συναγόμενος καὶ ἰσχνὸς, τοῖς μέσοις δὲ στενούμενος, τρυγώδης τὴν χροιὰν, χαῦνος τὴν σύγκρισιν, καὶ ἀραιὸς, ἀγγείων ἔχων καταπλοκὴν, ἄπρακτος καὶ ἀνενέργητος.

ΠΕΡΙ ΚΑΡΔΙΑΣ.

Προσείληπται δὲ τοῖς λοβοῖς τοῦ πνεύμονος ἡ καρδία, κειμένη ἐν τῷ θώρακι, καὶ κατὰ τὴν μεσότητα μᾶλλον ἢ τὰ ἀριστερὰ νεύουσα, καὶ κατὰ τὸν εὐώνυμον μαστὸν τεταγμένη, τῷ σχήματι στρογγυλοειδὴς, καὶ ἀπὸ πλατείας βάσεως εἰς κορυφὴν συννεύουσα κωνοειδῶς· τὴν δὲ σύγκρισιν μυώδης τὲ καὶ νευρώδης παλλομένη συνεχῶς, σφυγμοῦ κινήματι, μεσόκοιλος ἔχουσα κοιλίας δύο αἰσθητὰς ἐν αὐτῇ, τὴν μὲν ἐν δεξιοῖς λεγομένην αἱματικὴν, διὰ τὸ πλείονος αἵματος εἶναι περιεκτικήν· τὴν δὲ ἐν τοῖς εὐωνύμοις, καλουμένην πνευματικήν. διὰ τὸ τὸ πνεῦμα πλέον ἐμπεριέχειν, ἣ καὶ κινεῖται κατὰ διάθεσιν τοῦ πνεύματος, ὑμέσι παρ' ἑκάτερα πλατέσι κεχρημένη ὠτοειδέσι, διὰ τὸ περὶ αὐτὴν ὠτοειδῶς ἐσχηματίσθαι· ἐκφύεται γὰρ ἀπ' αὐτῆς ἀγγεῖα πλείονα, φλέβες τὲ καὶ ἀρτηρίαι, ἀφ' ὧν τὸ

ὅλον

ὅλον καταγγεῖται σῶμα· περίκειται δὲ τῇ καρδίᾳ ὑμὴν λεγόμενος περικάρδιος, νευρώδης τυγχάνων καὶ λεπτὸς, κινήσει κεχρημένος τῇ ἀπὸ καρδίας εἰς αὐτὸν διαδιδομένῃ.

Ὁ δὲ τούτων ἁπάντων περιεκτικὸς θώραξ, σύγκειται μὲν ἐκ χόνδρων καὶ ὀστέων, τῶν κατὰ τὰς πλευρὰς, καὶ τὸ ἀντίστερνον. μετείληφε δὲ καὶ νεύρων καὶ σαρκῶν, καὶ ἔξωθεν μέν ἐστι σαρκωδέστερος, ἔσωθεν δὲ νευρώδης, καθὰ πρόσκειται τῷ ὑπεζωκότι. τὸ δὲ διάφραγμα διάκειται παρατεταμένον τῷ θώρακι λοξὸν κατὰ τὰ ἀπολήγοντα τῶν πλευρῶν· ὠνόμασται δὲ διάφραγμα ἀπὸ τοῦ διαφράττειν τὰ ἐν τῷ θώρακι κείμενα σπλάγχνα.

ΠΕΡΙ ΣΤΟΜΑΧΟΥ.

ΕΚ μὲν οὖν τῶν ἄνω μερῶν, ὥσπερ ἔφαμεν, συνεκφύεται τῇ τραχείᾳ ἀρτηρίᾳ παράλληλα θέσιν ἔχων ὁ στόμαχος, ἀρχόμενος μὲν ἀπὸ τῶν αὐτῶν τόπων, οὐχ ὁμοίως δὲ τερματιζόμενος τῷ φάρυγγι· σαλπιγγοειδὴς δὲ κατὰ τὴν εὐρύτητα, ἄνωθεν μὲν καὶ στενότερος ὑπάρχων, κάτωθεν δὲ πλατύτερος, καθὰ συνάπτει τῇ κοιλίᾳ· κέκληται δὲ οὕτως ἡ ἄνω κοιλία, τὴν σύγκρισιν νευρώδης τυγχάνων. ἔργου δὲ ἡγεῖται τοῦ τῆς καταπόσεως τῆς τροφῆς ξηρᾶς τε καὶ ὑγρᾶς· τούτων δὲ τὴν ἐπιζήτησιν δι' ἑαυτοῦ ποιεῖται τυγχάνων αἰσθητικώτατος· ἡ δὲ γαστὴρ ἀποφυομένη

næ, & arteriæ: è quibus omne corpus vaſculis tanquam rivis emanantibus irrigatur. Membrana præterea quadam cor veluti ſepimento vallatur, eam pericardion *Græci* nominant, nervoſam, tenuem, motúque à corde transfuſo palpitantem.

Hæc omnia complectens pectus ex cartilaginibus componitur, atque oſſibus: quæ in coſtis, pectorali oſſe, atque dorſi ſpina reperiuntur: nervorum etiam carniúmque particeps extra carnoſius, interius nervoſum eſt: qua etiam parte ſuccingente membrana veſtitur. Interſeptum autem, ſive tranſverſum ſeptum obliquum pectori, qua coſtæ finiuntur, ſubtenditur: id ita vocatum eſt, quod viſcera in pectore abdita ab inferioribus interſepit.

De Gulâ & Ventriculo.

A Superioribus igitur corporis partibus, quemadmodum ſupra retulimus, ſimul cum aſpera arteria enaſcitur, ſecúſque ipſam gula protenditur, ab eiſdem utique partibus incipiens, non ſimiliter autem deſinens. Hæc tubæ imagine figuram amplitudine refert, ſupra anguſtior, infra verò, quâ cum ventriculo committitur, capacior: hoc quippe nomine ſuperior venter natura nervoſus vocatus eſt: munere autem ſicci humidíque alimenti devorandi gula fungitur: cujus examen ipſa acutiſſimo ſenſu prædita facit. Ventriculus itaque à gulâ exoriens ſub medio interſepto ad

læ vam

læyam magis reflexus collocatur ab anguſto ore in latam capedinem ſinuatus, cujus convexum extra in abdomen vergit, ſimum verò dorſum reſpicit: longè, quàm gula nervoſior ventriculus eſt atque amplior; ipſe nimirum intus accepta colliquans non magnopere ſe dilatat: ſed cibi ingreſſui cedens, ejus deſcenſum ſe conſtringendo inſequitur: cùm ad alimenta ſuſcipienda à naturâ creatus ſit.

De Inteſtinis & Lactibus.

A Ventriculo inteſtina in plures orbes implicita ad cibaria, quæ ab eo delabuntur, excipienda formata prodeunt: horum unum idémque ab ipſo vocato proceſſu ad rectum ac ſedem uſque iter pertinet: inter quæ primum eſt, quod oſtiarius, aut dodecadactylus dicitur: oſtiarius quidem, quòd in ventriculo poſita tantiſper, dum ſunt coacta, cuſtodiat: cùm remiſſa ſunt autem, tunc & hoſtiarius cum inteſtinis aperitur: quemadmodum ani muſculus ſphincter, *id eſt adſtrictor*, vocatus remittitur. Dodecadactylus autem à duodecim digitorum longitudine vocabulum accepit: nervoſa ipſius craſſáque ſubſtantia eſt, hoc appellatum jejunum tangit aliis inteſtinis carnoſius, ſemper ferè alimenti penuria laborans: unde jejuni quoque appellationem adeptum eſt: quòd in ipſo videlicet alimentum, ut in ventriculo & inteſtinis aſſolet, non invenitur: poſtea gracilia quæ vocantur, inteſtina prolixa in multas ſpiras convoluta, tredecim cubitorum longitudinem æquantia collocantur

τούτου, κεῖται μὲν κατὰ τὴν μεσότητα τοῦ διαφράγματος, εἰς τὰ εὐώνυμα δὲ μᾶλλον νενευκυῖα ἀπὸ τοῦ στομάχου εἰς πλάτος κοιλαινομένη. καὶ τὸ μὲν περίκυρτον αὐτῆς ἔξω πρὸς τὸ ἐπιγάστριον· τὸ δὲ ἔνσιμον πρὸς τῇ ῥάχει. νευρωδεστάτη δὲ μᾶλλον τοῦ στομάχου, καὶ πλατυτέρα κεχυμένη τὰ ἔνδον, οὐχὶ λίαν διεσταλμένη καὶ συμπίπτουσα τῇ τῆς τροφῆς εἰσόδῳ τε καὶ ὑποχωρήσει, πρὸς ὑποδοχὴν σιτίων γεγονυῖα.

ΠΕΡΙ ΕΝΤΕΡΩΝ.

Ἀπὸ δὲ ταύτης ἐκφύεται τὰ ἔντερα ἑλικηδὸν εἰλημένα πρὸς ὑποδοχὴν τῶν τῆς κοιλίας ὑποβιβαζομένων σιτισμῶν· ὧν εἷς μὲν πόρος ἀπὸ τῆς ἐκφύσεως αὐτῆς ἄχρι τοῦ ἀπευθυτιένου καὶ τῆς ἕδρας διήκει. ἡγεῖται δὲ τούτων ὁ πυλωρὸς λεγόμενος, ἢ δωδεκαδάκτυλος· πυλωρὸς μὲν, ἀπὸ τοῦ παρακρατεῖν τὰ ἐν τῇ γαστρὶ παρακείμενα, ὅταν ᾖ συνηγμένα· ὅταν δὲ ἀνεθῇ, τότε προστέλλεται μετὰ τῶν ἐντέρων παραπλησίως σφιγκτῆρι· δωδεκαδάκτυλος δὲ εἴρηται ἀπὸ τοῦ μεγέθους, τοσούτων τυγχάνων δακτύλων, νευρώδης καὶ παχύς. τούτῳ συνάπτει ἡ λεγομένη νῆστις σαρκωδεστέρα παρὰ τὰ ἄλλα ἔντερα σπανίζουσα τροφῆς κατὰ τὸ πλεῖστον, διὸ καὶ νῆστις προσαγορεύεται, οὐχ εὑρισκομένης ἐν αὐτῇ τῆς τροφῆς, ὥσπερ ἐν τῇ κοιλίᾳ, καὶ τοῖς ἐντέροις. ἑξῆς δὲ κεῖται τὰ λεπτὰ καλούμενα ἔντερα ἐπιμήκη καὶ πολυέλικτα τρεῖς καὶ δέκα πηχῶν τὸ μῆκος τυγχάνοντα· κεῖται δὲ ὑπὸ

τὸν ὀμφαλὸν ταῦτα κατὰ τοῦ ὑπογαστρίου. ἐπὶ πᾶσι δὲ τούτοις, τό, τε τυφλὸν λεγόμενον ἔντερον, ϗ τὸ κῶλον ἐκπέφυκε κατὰ τὸ αὐτό· ϗ τὸ μὲν τυφλὸν, ἐπ' εὐθείας ἐπὶ τὸν βουβῶνα τὸν δεξιὸν νεῦον, τῷ πέρατι ἀποκεκλιμένον· τὸ δὲ κῶλον ἐκφυὲν κατὰ τὴν δεξιὰν λαγόνα, ἄνωθεν ἐπιπίπτει κατὰ περιαγωγὴν ὡς ἐπὶ ἧπαρ ϗ ὑποχόνδριον σπειροειδῶς ἀγόμενον· ἐνεχθὲν δὲ ὡς ἐπὶ σπλῆνα, ϗ εὐώνυμον λαγόνα συνάπτει ὄπισθεν τῷ ἀπευθυσμένῳ. τοῦτο δέ τινες ϗ τὴν κάτω κοιλίαν ὠνόμασαν. ἐν τούτῳ ϗ ἡ τροφὴ τὸ πλεῖστον εἰς κόπρον μεταβάλλεται. τὸ δὲ ἀπευθυσμένον, μετὰ ταῦτα ὑπάρχει σαρκωδέστερον ἐπ' εὐθείας τεταμένον, καθὸ ϗ οὕτως ὠνομάσθη· καταλήγει δὲ εἰς τὸν δωδεκαδάκτυλον, ϗ σφιγκτῆρα, τὸν μὲν νευρώδη ϗ σκληρὸν, τὸν δὲ σαρκώδη ϗ ῥυσσὸν ἐπὶ πᾶσι τεταγμένον· μέσα δὲ τούτων τῶν ἐντέρων τέτακται τὸ καλούμενον μεσέντερον· τὸ δὲ αὐτὸ, ϗ μεσαραῖον καλεῖται.

ΠΕΡΙ ΝΕΦΡΩΝ.

ΟΙ δὲ νεφροὶ κεῖνται μὲν κατὰ τοὺς τῆς ῥάχεως τελευταίους σφονδύλους, ἀριθμῷ δύο, σχήματι περιφερεῖς, χροιᾷ φακώδεις, ϗ πως ὑπότεφροι· ὧν ὁ δεξιὸς ἀνωτέρω βραχὺ ϗ μείζων εὑρίσκεται, τῇ συγκρίσει πυκνοὶ ϗ ψαφαροὶ, καίριοι δὲ κατὰ τὰς τρώσεις, ὡς ϗ θάνατον ἀπεργάζεσθαι· κατὰ δὲ τὰ ἔνσιμα ὑμένας ἔχουσι κατατετρημένους ἠθμοειδῶς, ἀφ' ὧν δύο πόροι κατὰ τὴν κορυφὴν τῆς κύστεως συνάπτουσι,

τουσι,

cantur, & ſub umbilico in abdominis regione ponuntur. Sub his omnibus cœcum inteſtinum, & colon eodem loco exoriuntur: cœcum quidem rectà in dextrum inguem ſpectans, altera ex parte obſtructum: colon verò, quod magis *inteſtinum Latini vocant*, à dextris enaſcens, supernè ſeſe circumvolvens, in jecur, præcordiáque adductum incidit, deinde lienem ſiniſtrúmque ile petens, poſterius cum recto inteſtino conjungitur: id nonnulli & inferiorem ventriculum nominarunt: in quo etiam plurima cibi pars in ſtercus vertitur: omnium poſtremum rectum eſt cæteris carnoſius, rectámque ſedem, unde & nomen accepit, ſortitum eſt: in annulum autem & ſphinctera vocatum, *id eſt adſtrictorem*, deſinit, eum quidem nervoſum & durum, hunc autem carneum atque rugoſum, infimum omnium collocatum. Inter inteſtina medii lactes ſunt, quos *Græci* meſenterii atque meſaræi vocabulo inſigniunt.

De Renibus, urinariiſque Meatibus.

RENes circa ultimas dorſi vertebras ſiti ſunt, numero duo, figura rotundi, colore lenticulæ, & quaſi ſubcinereo: dexter pauló altior grandiórque invenitur: denſo ſquallidóque corpore conſtant: ſauciati inevitabilem mortem afferunt. In penitis caviſque eorum partibus membranulæ ſunt inſtar cribri, foraminibus plurimis pertuſæ: unde meatus duo exeuntes veſicæ ſummitatem intrant: per quos urina in veſicam transfunditur, in-

déque foras expellitur : hos paulò ante meatus nominavimus.

Omentum inteſtina contegit præpingue, duplicíque membrana contextum : ipſum idcircò natura condidit, ut inteſtinis ſuperfluitans ea adverſus ambientis peritonæi duritiam remolliret : reciſum aut vulneratum vitæ diſcrimine vacat.

De ſeminariis Conceptaculis & Semine.

AT ſeminaria itinera ſecundum renes quatuor deſcendunt : bina rectà tendentia, quos & aſſeſtores & glanduloſos nonnulli vocant : bina varicoſa, quòd varicis more circumflectuntur : intra hæc fœcundum ſemen gignitur, grandinoſum craſſúmque : quare & ipſa nonnulli genitales venas appellare voluerunt : in alteris autem eſt infœcundum dilutúmque ſemen, quod ſimul cum priore ejus nutriendi cauſa excernitur : verùm ab utrâque parte conjugata ſimul utráque à dorſo deſcendunt ; ſed ſterilia vaſcula cum veſicâ cervice coaleſcunt : varicoſa verò per inguina teſticulorum tunicas ſubeunt. Quapropter eunuchi ſemen quidem, ſed infœcundum è glanduloſis fiſtulis ejiciciunt : è varicoſis verò exciſis teſtibus ſeminis profuſio ſervari non potuit.

Scrotum & tota ea laxitas eſt, in quâ teſtes continentur, & magis propriè exterior carnoſa pars, ex membranis conſtat, exteriore quidem darto vocata, quæ rugoſa eſt, interiore autem erythroide. Nempe ſcrotum & dartos communia amborum teſ-

τουσι, δι' ὧν τὸ οὖρον συνεκδίδοται εἰς τὴν κύστιν, καὶ οὕτως ἐκκρίνεται, οὓς προωνομασάμεθα πόρους.

Ἄνωθεν τοῖς ἐντέροις ἐπίκειται διεκτεταμένος ὁ ἐπίπλους, σῶμα πιμελῶδες καὶ ὑμενῶδες, διῃρημένος. κατεσκεύασται δὲ ὡς ἂν ἐπὶ πλεῖον τοῖς ἐντέροις εἴη μάλαγμα πρὸς τὴν ἀπὸ τοῦ περιέχοντος αὐτὰ σκληρίαν περιτοναίου. ἔστι δὲ ἀκίνδυνος, ἔν τε ταῖς ἀποτομαῖς, καὶ ταῖς τρώσεσι.

ΠΕΡΙ ΣΠΕΡΜΑΤΙΚΩΝ.

ΟΙ δὲ σπερματικοὶ πόροι παρὰ τοὺς νεφροὺς κατίασι τέσσαρες· δύο μὲν ἐπ' εὐθείας τείνοντες, οὓς καὶ παραστάτας τινὲς καὶ ἀδενοειδεῖς ἐκάλεσαν· δύο δὲ κιρσοειδεῖς διὰ τὸ κιρσοῦ τρόπον συμπεριφέρεσθαι. ἐν τούτοις καὶ τὸ γόνιμον ἀποτελεῖται σπέρμα, χαλαζῶδες καὶ παχὺ τυγχάνον, οὓς καὶ γονίμους φλέβας τινὲς ὠνόμασαν. ἐν δὲ τοῖς ἑτέροις ἄγονον καὶ λεπτὸν ἓν συναποκρίνεται τούτῳ ὑπὲρ θρέψεως αὐτοῦ· πλὴν συζυγοῦντα ἐξ ἑκατέρου μέρους κατίασιν ἀπὸ τῆς ῥάχεως ἀνὰ δύο. καὶ τὰ μὲν ἄγονα συνεκφύεται τῷ τραχήλῳ τῆς κύστεως· τὰ δὲ κιρσοειδῆ διὰ τῶν βουβώνων εἰς τοὺς χιτῶνας τῶν διδύμων παρ' ἑκάτερα. ὅθεν οἱ εὐνουχισθέντες σπερμαίνουσι μὲν, ἄγονον ἐκ τῶν ἀδενοειδῶν, τῆς ἐκ τῶν κιρσοειδῶν ἀποκρίσεως οὐ δυναμένης σώζεσθαι διὰ τὴν περὶ τοὺς διδύμους πήρωσιν.

Ὄσχεος δὲ καλεῖται καὶ τὸ ὅλον χάλασμα, ἐν ᾧ οἱ δίδυμοι· ἰδίως δὲ τὸ ἔξωθεν σαρκῶδες· σύγκειται δὲ ἐκ χιτώνων, τοῦ μὲν ἔξωθεν δαρτοῦ καὶ ῥυσσοῦ· τοῦ δὲ ἔνδοθεν δαρτοῦ καὶ ἐρυθροειδοῦς. ὁ μὲν οὖν ὄσχεος καὶ δαρτὸς κοινῶς ἑκατέρους

τέρους συμπεριειληφότες συνάπτουσι πρὸς τὰ ὑπερκείμενα· ὁ δὲ ἐρυθροειδὴς ἑαυτῷ συνῆπται, καὶ σφαιρικῶς ἐν κύκλῳ περιείληφε τοὺς διδύμους, ἰδίᾳ καθ᾽ ἕνα συνέχων· αὐτοὶ δὲ οἱ δίδυμοι ἀθαρώδεις εἰσὶ τὴν σύγκρισιν, καὶ δίυγροι ποσῶς ὑμένι περιεχόμενοι νευρώδει προσυπεῖ.

Τῆς δὲ γυναικὸς τὸ γεννητικὸν μόριον ἐξαίρετόν ἐστι πρὸς τὴν τυπὴν τῶν ἀγγείων, ἡ καλουμένη μήτρα· κεῖται δὲ μεταξὺ κύστεως, καὶ ἀπευθυσμένου ἐντέρου, τούτῳ μὲν ἐπικειμένη, τῇ κύστει δὲ ὑποκειμένη, τῷ σχήματι σικύᾳ ἰατρικῇ παραπλησία, ἔνθα καὶ αἱ συνουσίαι περαίνονται.

ΠΕΡΙ ΦΛΕΒΩΝ ΚΑΙ ΑΡΤΗΡΙΩΝ.

Φλέβες μὲν οὖν εἰσιν ἀγγεῖα περιεκτικὰ αἵματος, δι᾽ ὧν τὸ αἷμα εἰς πάντας τοὺς τοῦ σώματος τόπους διαπέμπεται· ἀρτηρίαι δέ εἰσιν ἀγγεῖα περιεκτικὰ πνεύματος καὶ ποσῶς αἵματος, ἐν οἷς ὁ σφυγμὸς γίγνεται· καὶ τὸ ἀπὸ καρδίας ἐκθλιβόμενον πνεῦμα δι᾽ αὐτῶν εἰς ὅλον τὸν ὄγκον ἀναδίδοται. πιμελὴ δέ ἐστι παρέκχυμα λευκὸν, λιπῶδες, ὃ καὶ στέαρ καλοῦσιν· ἀδένες εἰσὶ συστροφαὶ ποσῶς πιμελώδεις, καὶ σαρκώδεις ἰδίως κατακεχωρισμέναι εἰς τοὺς κοίλους τόπους, μασχάλας λέγω καὶ βουβῶνας, καὶ εἰς μεσεντέριον. ὀστέα εἰσὶ συγκρίσεις καὶ στερεαὶ καὶ ἄναιμοι καὶ ἀναίσθητοι, δι᾽ ὧν αἵ τε πρακτικαὶ καὶ αἱρετικαὶ κινήσεις συντελοῦνται. μῦς ἐστὶ σῶμα ναστὸν καὶ πεπυκνωμένον, οὐχ ἁπλοῦν, ἀλλὰ

μετέχον

tium involucra eos ſuperioribus partibus ſuſpendunt: ſed erythroides ſibi ipſi adnectit, atque in orbem teſtes amplectitur, privatim ſeorſúmque ſingulos involvens. Ipſi teſtes autem ex pulticulæ ſimili materiâ conſtant, humidíque admodum nervoſa firmáque membrana includuntur.

Muliebre autem genitale membrum, quod vulva atque uterus vocatur, inter conceptacula eximium eſt: inter veſicam rectúmque inteſtinum ponitur huic incumbens, illi ſubditum, medicinalis cucurbitulæ figuram æmulans: hoc loco venerei congreſſus exercentur.

De Venis, & Arteriis.

VEnæ receptacula ſanguinem continentia ſunt, per quas ſanguis in omnes corporis partes diffunditur. Arteriæ ſpiritus & quodammodo etiam ſanguinis receptacula ſunt: in quibus motio fit, quæ pulſus communi vocabulo dicitur, & à corde excluſus ſpiritus per ipſas in omnem corporis molem diſpellitur. Pinguitudo eſt alba oleoſáque concretio, quam adipem etiam nominant. Glanduloſæ carnes, quas *Græci* adenas vocant, concretiones quædam ſubpingues atque carnoſæ ſunt, peculiariter cavis locis inſitæ: alis, dico, & inguinibus, necnon & lactibus. Oſſa coagmenta quædam ſunt ſolida, ſanguine & ſenſu carentia, per quæ activæ atque electoriæ motiones perficiuntur. Muſculus corpus

eſt firmum ac denſum, non ſimplex, ſed ex nervis, venis, arteriiſque compoſitum, ſentiendi particeps, officium voluntariæ motionis obiens. Cartilagines autem concretiones ſunt mediæ inter oſſa nervóſque naturæ : oſſibus enim molliores, nervis duriores ſunt, præcipue oſſium extremitatibus coaleſcentes. Nervus corpus eſt ſimplex atque denſum, voluntarii motus inſtrumentum, obtuſi, dum inciditur, ſenſus. Secundum Eraſiſtratum quidem & Herophilum ſenſorii nervi ſunt : Aſclepiades autem ipſos ſenſu vacare teſtatus eſt : cæterum ſecundum Eraſiſtratum cùm gemina nervorum natura ſit, ſenſoriorum videlicet, atque moventium, ſenſorii, qui cavi ſunt, in cerebri membranis originem habent, moventes in cerebro ac cerebello. Dixit autem Herophilus aliquos eſſe voluntati obedientes nervos, qui & à cerebro ſpinalíque medulla oriuntur : aliquos, qui ab oſſe orientes in os inſeruntur : aliquos à muſculo in muſculum tranſeuntes, qui articulos etiam copulant. Medulla ſubſtantia eſt unguinoſa & exanguis, quæ ſemper in oſſium cavis includitur.

EJUSDEM

μετέχον καὶ νεύρων, καὶ φλεβῶν, καὶ ἀρτηριῶν, οὐκ ἄμοιρον αἰσθήσεως, , ἐνέργειαν ἔχον προαιρετικῆς κινήσεως. χόνδροι δέ εἰσι συγκρίσεις μεταξὺ ὀστέων καὶ νεύρων. ὀστέων μὲν γάρ εἰσιν ἁπαλώτεροι· νεύρων δὲ σκληρότεροι, μάλιστα τοῖς ἀπολήγουσι τῶν ὀστῶν συμφυεῖς τυγχάνοντες· νεῦρόν ἐστιν ἁπλοῦν σῶμα καὶ πεπυκνωμένον προαιρετικῆς κινήσεως αἴτιον, δυσαίσθητον κατὰ τὴν διαίρεσιν. κατὰ μὲν οὖν τὸν Ἐρασίστρατον καὶ Ἡρόφιλον, αἰσθητικὰ νεῦρά ἐστι. κατὰ δὲ Ἀσκληπιάδην οὐδὲ ὅλως· κατὰ μὲν οὖν τὸ Ἐρασίστρατον διττῶν ὄντων τῶν νεύρων αἰσθητικῶν καὶ κινητικῶν, τῶν μὲν αἰσθητικῶν ἃ κεκοίλανται, ἀρχὰς εὕροις ἂν ἐν μήνιγξι, τῶν δὲ κινητικῶν ἐν ἐγκεφάλῳ καὶ παρεγκεφαλίδι. κατὰ δὲ τὸν Ἡρόφιλον ἃ μέν ἐστι προαιρετικά, ἃ καὶ ἔχει τὴν ἔκφυσιν ἀπὸ τοῦ ἐγκεφάλου, καὶ νωτιαίου μυελοῦ· καὶ ἃ μὲν ἀπὸ ὀστέου εἰς ὀστοῦν ἐμφύεται, ἃ δὲ ἀπὸ μυὸς εἰς μῦν, ἃ καὶ συνδεῖ τὰ ἄρθρα. μυελός ἐστιν οὐσία λιπώδης καὶ ἄναιμος, καὶ διὰ παντὸς ὑπὸ ὀστέων περιεχόμενος.

ΡΟΥΦΟΥ ΕΦΕΣΙΟΥ

ΟΝΟΜΑΣΙΩΝ

ΤΩΝ

ΚΑΤΑ ΑΝΘΡΩΠΟΝ, ΠΕΡΙ ΟΣΤΕΩΝ.

γ.

Ἐπειδὴ τὴν ἐντόσθιον θεωρίαν κατὰ τὸ ἐνδεχόμενον παραδεδώκαμεν, ἑξῆς περὶ ὀστεολογίας λεκτέον ἡμῖν· τὸ κρανίον τοίνυν καὶ τὸ λεγόμενον σκαφίον ἐστὶ σφαιροειδὲς, τοῖς μὲν κατὰ κορυφὴν μέρεσιν ὀγκῶδες, τοῖς δὲ περὶ τὸ βρέγμα τυγχάνουσιν ὑπόπαχυ ποσῶς καὶ πλατὺ, καὶ διπλοῦν κατ' ἐπιβολὴν ὀστέου τοῖς κροτάφοις συνεσταλμένον· ἔχει δὲ κατὰ τὸ πλεῖστον ῥαφὰς πέντε, μίαν μὲν κατὰ κορυφὴν λαμβδοειδῆ εἰς τοὐπίσω τοῦ κρανίου φερομένην· ἑτέραν δὲ ἐπὶ τοῦ βρέγματος περιφερῆ, οἱονεὶ στεφανιαίαν· λήγει δὲ κατ' αὐτό· τρίτη δὲ ἀπὸ τῆς λαμβδοειδοῦς ἐπευθὺ τῇ στεφανιαίᾳ συνάπτει· ἄλλαι δὲ

δύο

RUFFI EPHESII
DE
CORPORIS HUMANI PARTIUM
APPELLATIONIBUS
LIBER III.

POſteaquàm interiorum locorum naturam nomináque pro viribus ſuperius expoſuimus, modò de oſſibus ſermonem ſubjiciemus. Calvaria igitur, quâ parte vocata ſcaphula eſt, globoſa cernitur, in vertice extuberans, in ſyncipite ſubcraſſa aliquantulum, & lata, atque per oſſis injectum duplicata, circa tempora compreſſa, plerumque ſuturis quinque diviſa : una in vertice in poſteriorem partem tendente, quæ à literæ lambda ſimilitudine lambdalis nomen habet. Altera autem in ſyncipite orbiculari, coronæ unde & dicta eſt, formam imitante : quæ ibidem terminata finitur. Tertia à lambdali recta verticem partita corona-

